᾿Αλλ᾽ ὁ διπλάσιος τοῦ πλήθους τῶν ἐφ᾽ ὧν τὰ Β μὴ μετρείσθω ὑπὸ τετράδος· μετρούμενος ἄρα λείψει δυάδα ἐξ ἀνάγκης (τοῦτο γὰρ προδέδεικται), ὥστε καὶ ὁ διπλάσιος τοῦ πλήθους τῶν ἑκατοντάδων μετρούμενος ὑπὸ τετράδος· τὸ ἄρα πλῆθος τῶν ἑκατοντάδων μετρούμενον ὑπὸ δυάδος λείψει μίαν ἑκατοντάδα. ὁ τοίνυν διὰ τῶν ἑκατοντάδων στερεὸς ἔσται μυριάδων ρ′ ὁμωνύμων τῷ Ζ, τουτέστι διπλῶν, ὥστε δῆλον ὅτι ὁ διὰ τῶν ἐφ᾽ ὧν τὰ Β μυριάδες εἰσὶν ρ′ ὁμώνυμοι τῷ Ζ γενόμεναι ἐπὶ τὸν Ε [τὰς ρκ′ μονάδας]. γίνονται μυριὰς μία δισχίλιαι διπλῶν μυριάδων.

ις′. Ἔστωσαν δύο ἀριθμοὶ οἱ ΑΒ, καὶ ὁ μὲν Α ὑποκείσθω ἐλάσσων μὲν χιλιάδος μετρούμενος δὲ ὑπὸ ἑκατοντάδος, οἷον μονάδες φ′, ὁ δὲ Β ἐλάσσων μὲν ἑκατοντάδος μετρούμενος δὲ ὑπὸ δεκάδος, οἷον μονάδες μ′, καὶ δέον ἔστω τὸν ἐξ αὐτῶν ἀριθμὸν εἰπεῖν μὴ πολλαπλασιάσαντα αὐτούς.

Ἔστι δὲ φανερὸν διὰ τῶν ἀριθμῶν· οἱ γὰρ ε′ δ′ πυθμένες αὐτῶν ὄντες [μο. ε′ καὶ μο. δ′] πολλαπλασιασθέντες ποιοῦσι μονάδας κ′, χιλιάκις δὲ ὁ κ′ ἀριθμὸς ποιεῖ μυριάδας δύο ποιούσας τὸν ὑπὸ τῶν Α Β γινόμενον. τὸ δὲ γραμμικὸν δῆλον ἐξ ὧν ἔδειξεν ᾿Απολλώνιος.

εἶναι ἄρα οἱ ἀριθμοὶ ἐφ' ὧν (εὐθειῶν) τὰ γράμματα Γ, τῶν ἀριθμῶν τῶν εὐθειῶν ἐφ' ὧν τὰ γράμματα Β. (π. χ. :

ἀριθμοὶ	Β	Β	Β	Β	Β
πυθμένες	Γ	Γ	Γ	Γ	Γ
ἔστω τὰ Β	200	300	400	500	. . .
ἔστω τὰ Γ	2	3	4	5	. .)

Τὸ γινόμενον τῶν πυθμένων ἔστω Γ.Γ.Γ... =Ε [δηλ. 120]. Διότι ἔχει ἀποδειχθῇ γεωμετρικῶς, ὅτι τὸ γινόμενον τῶν Β= $120 \cdot 10000^2$, ἐπειδὴ καὶ τὸ γινόμενον τῶν Β (ἀριθμητικῶς) εἶναι ἴσον πρὸς τὸ γινόμενον τῶν πυθμένων, δηλ. $120 \cdot 10000^2$.

'Αλλ' ἔστω τώρα, ὅτι ὁ διπλάσιος τοῦ πλήθους τῶν Β δὲν διαιρεῖται ἀκριβῶς διὰ τοῦ 4· ἑπομένως, ἐὰν γίνῃ ἡ διαίρεσις θὰ μείνῃ ὑπόλοιπον 2 κατ' ἀνάγκην (διότι τοῦτο ἔχει προαποδειχθῇ), ὥστε καὶ ὁ διπλάσιος τοῦ πλήθους τῶν ἑκατοντάδων διαιρούμενος διὰ τοῦ 4 θὰ ἀφήσῃ ὑπόλοιπον 2· τὸ πλῆθος ἄρα τῶν ἑκατοντάδων $= 4Z+2$· τὸ πλῆθος ἄρα τῶν ἑκατοντάδων διαιρούμενον διὰ 2 $= 2Z+1$. Τὸ γινόμενον ἄρα τῶν ἑκατοντάδων εἶναι 100 μυριάδες ὁμώνυμοι πρὸς τὰς Ζ, δηλαδὴ διπλαῖ, ὥστε εἶναι φανερὸν τὸ γινόμενον τῶν μυριάδων, ὅπου τὰ γράμματα Β εἶναι 100 ὁμώνυμοι πρὸς τὰς μυριάδας Ζ ἐπὶ τὸ γινόμενον τῶν πυθμένων Ε (2.3.4.5. =120 μονάδες). Τὸ τελικὸν γινόμενον ἄρα εἶναι $100 \cdot 10000^2 \cdot E = 100 \cdot 10000^2 \cdot 120 = 12000 \cdot 10000^2$, $[= (10000 + 2000) \cdot 10000^2]$.

16. Ἔστωσαν δύο ἀριθμοὶ οἱ Α, Β καὶ ὁ μὲν Α ἔστω μικρότερος τοῦ 1000 διαιρούμενος ὅμως διὰ 100, ἔστω ὁ 500, ὁ δὲ Β μικρότερος μὲν τοῦ 100 διαιρούμενος ὅμως διὰ 10 ἔστω ὁ 40, καὶ ὅτι πρέπει νὰ εἴπωμεν τὸ γινόμενον αὐτῶν χωρὶς νὰ γίνῃ ὁ πολλαπλασιασμός.

Εἶναι δὲ φανερὸν τὸ γινόμενον ἐκ τῶν ἀριθμῶν· διότι, ἀφοῦ οἱ πυθμένες αὐτῶν εἶναι 5 4, τὸ γινόμενον αὐτῶν εἶναι 20, ἐπὶ 1000 δὲ οὗτος δίδει μυριάδας 2=Α·Β. Ἡ γεωμετρικὴ ἀπόδειξις αὐτῶν ἔγινεν ἀπὸ τὸν 'Απολλώνιον.

ιζ′. Ἐπὶ δὲ τοῦ ιη′ θεωρήματος. Ἔστω πλῆθος ἀριθμῶν τὸ ἐφ᾽ ὧν τὰ Α, ὧν ἕκαστος ἐλάσσων μὲν ἑκατοντάδος μετρούμενος δὲ ὑπὸ δεκάδος, καὶ ἄλλο πλῆθος ἀριθμῶν τὸ ἐφ᾽ ὧν τὰ Β, ὧν ἕκαστος ἐλάσσων μὲν χιλιάδος μετρούμενος δὲ ὑπὸ ἑκατοντάδος, καὶ δέον ἔστω τὸν ἐκ τῶν ἐφ᾽ ὧν τὰ Α Β στερεὸν εἰπεῖν μὴ πολλαπλασιάσαντα αὐτούς.

Ἔστωσαν γὰρ πυθμένες τῶν μὲν ἐφ᾽ ὧν τὰ Α οἱ ἐφ᾽ ὧν τὰ Η, μονάδες α′ καὶ β′ καὶ γ′ καὶ δ′, τῶν δὲ ἐφ᾽ ὧν τὰ Β οἱ ἐφ᾽ ὧν τὰ Θ, μονάδες β′ καὶ γ′ καὶ δ′ καὶ ε′, καὶ ληφθέντος τοῦ ἐκ τῶν πυθμένων στερεοῦ [τῶν β′ γ′ δ′ β′ γ′ δ′ ε′], τουτέστιν τοῦ Ε, μονάδων ὄντος ͵βωπ′, τὸ πλῆθος τῶν ἐφ᾽ ὧν τὰ Α προσλαβὸν τὸν διπλασίονα τοῦ πλήθους τῶν ἐφ᾽ ὧν τὰ Β μετρείσθω πρότερον ὑπὸ τετράδος [κατὰ τὸν Ζ, μετρεῖ δὲ αὐτούς]. καὶ δείκνυσιν ὁ Ἀπολλώνιος τὸν ἐκ πάντων τῶν ἐφ᾽ ὧν τὰ Α Β στερεὸν μυριάδων τοσούτων, ὅσαι εἰσὶν ἐν τῷ Ε μονάδες, ὁμωνύμων τῷ Ζ ἀριθμῷ, τουτέστιν τριπλῶν μυριάδων ͵βωπ′. [μία γὰρ μυριὰς ὁμώνυμος τῷ Ζ, τουτέστιν τριπλῆ, ἐπὶ τὸν Ε, τουτέστιν τὰ ͵βωπ′, γενομένη ποιεῖ τὸν ἐκ τῶν στερεῶν ἀριθμὸν τῶν ἐφ᾽ ὧν τὰ Α Β· ὁ ἄρα ἐκ τῶν ἀριθμῶν στερεὸς τῶν ἐφ᾽ ὧν τὰ Α Β μυριάδες εἰσὶν τοσαῦται, ὅσαι εἰσὶν ἐν τῷ Ε μονάδες, ὁμώνυμοι τῷ Ζ ἀριθμῷ].

Ἀλλὰ δὴ τὸ πλῆθος τῶν ἐφ᾽ ὧν τὰ Α, προσλαβὸν τὸν διπλασίονα τοῦ πλήθους τῶν ἐφ᾽ ὧν τὰ Β, μετρούμενον ὑπὸ τετράδος καταλειπέτω πρότερον ἕνα. καὶ συνάγει ὁ Ἀπολλώνιος ὅτι ὁ ἐκ τῶν ἀριθμῶν ἐφ᾽ ὧν τὰ Α Β στερεὸς

ΜΑΡΤΥΡΙΑΙ

17. Ἐπὶ τοῦ 18ου θεωρήματος (σημ. ὡς φαίνεται, εἶναι σχόλια ἐπὶ τοῦ 18ου θεωρήματος τῆς ἀπολεσθείσης πραγματείας τοῦ Ἀπολλωνίου).

Ἔστω πλῆθος ἀριθμῶν, τὸ πλῆθος τῶν εὐθειῶν, ὅπου τὰ γράμματα Α, ἕκαστος μικρότερος μὲν τοῦ 100, διαιρούμενος ὅμως διὰ 10, καὶ ἄλλο πλῆθος ἀριθμῶν, ὅπου τὰ γράμματα Β, τῶν ὁποίων ἕκαστος μικρότερος μὲν τοῦ 1000 διαιρούμενος ὅμως διὰ 100, καὶ ὅτι ζητεῖται νὰ εὕρωμεν τὸ γινόμενον αὐτῶν χωρὶς νὰ γίνῃ ὁ πολλαπλασιασμός.

Διότι ἔστωσαν πυθμένες τῶν μὲν ἀριθμῶν τῶν παριστωμένων διὰ τῶν εὐθειῶν Α οἱ ἀριθμοὶ τῶν εὐθειῶν ἐφ' ὧν τὰ γράμματα Η, ἤτοι μονάδες (πυθμένες) 1 2 3 4 τῶν δὲ ἀριθμῶν ἐπὶ τῶν εὐθειῶν τῶν ὁποίων εἶναι τὰ γράμματα Β, οἱ ἀριθμοὶ οἱ ὁποῖοι εἶναι ἐπὶ τῶν εὐθειῶν, ὅπου τὰ γράμματα Θ, μονάδες 2 3 4 5, καὶ ἀφοῦ ληφθῇ τὸ γινόμενον τῶν πυθμένων $2 \cdot 3 \cdot 4 \cdot 2 \cdot 3 \cdot 4 \cdot 5 = E = 2880$, τὸ πλῆθος τῶν Α + τὸ διπλάσιον τοῦ πλήθους τῶν Β, ἂς διαιρῆται πρῶτον διὰ τοῦ 4 (ἔστω μὲ πηλίκον τὸν Ζ). Καὶ ἀποδεικνύει ὁ Ἀπολλώνιος, ὅτι τὸ γινόμενον ἐξ ὅλων τῶν παραγόντων Α, Β εἶναι τόσαι μυριάδες, ὅσαι μονάδες ὑπάρχουσιν εἰς τὸν Ε, ὁμώνυμοι πρὸς τὸν ἀριθμὸν Ζ, τουτέστιν τριπλῶν μυριάδων 2880 (διότι μία μυριὰς ὁμώνυμος πρὸς τὸν ἀριθμὸν Ζ, τουτέστι τριπλῆ ($=10000^3$), ἐπὶ τὸν Ε, τουτέστιν τὰ 2880, δίδει γινόμενον τὸ γινόμενον τῶν ἀριθμῶν Α, Β· τὸ γινόμενον ἄρα τῶν ἀριθμῶν Α, Β εἶναι τόσαι μυριάδες ὅσαι μονάδες εἶναι ὁμώνυμοι πρὸς τὸν Ζ (ἤτοι $2880 \cdot 10000^3$).

Ἀλλ' ἔστω ὅτι τὸ πλῆθος τῶν Α σὺν τὸ διπλάσιον τοῦ πλήθους τῶν Β, διαιρούμενον διὰ 4 ἀφήνει ὑπόλοιπον 1. Καὶ συμπεραίνει ὁ Ἀπολλώνιος, ὅτι τὸ γινόμενον τῶν ἀριθμῶν Α, Β *μυριάδες εἰσὶν τοσαῦται ὁμώνυμοι τῷ Ζ, ὅσος ἐστὶν ὁ δεκαπλασίων τοῦ Ε, ἐὰν δὲ τὸ προειρημένον πλῆθος μετρούμενον ὑπὸ τετράδος καταλείπῃ δύο, ὁ ἐκ τῶν ἀριθμῶν στερεὸς τῶν ἐφ' ὧν τὰ Α Β μυριάδες εἰσὶν τοσαῦται ὁμώνυμοι τῷ Ζ, ὅσος ἐστὶν ὁ ἑκατονταπλάσιος τοῦ Ε ἀριθμοῦ, ὅταν δὲ τρεῖς καταλειφθῶσιν, ἴσος ἐστὶν ὁ ἐξ αὐτῶν στερεὸς μυριάσιν τοσαύταις ὁμωνύμοις τῷ Ζ, ὅσος ἐστὶν ὁ χιλιαπλάσιος τοῦ Ε ἀριθμοῦ.*

ιη'. Ἐπὶ δὲ τοῦ ιθ' θεωρήματος. Ἔστω τις ἀριθμὸς ὁ Α ἐλάσσων μὲν ἑκατοντάδος μετρούμενος δὲ ὑπὸ δεκάδος, καὶ ἄλλοι ὁσοιδηποτοῦν ἀριθμοὶ ἐλάσσονες δεκάδος οἷον οἱ Β Γ Δ Ε, καὶ δέον ἔστω τὸν ἐκ τῶν Α Β Γ Δ Ε στερεὸν εἰπεῖν.

Ἔστω γὰρ καθ' ὃν μετρεῖται ὁ Α ὑπὸ τῆς δεκάδος ὁ Ζ, τουτέστιν ὁ πυθμὴν τοῦ Α, καὶ εἰλήφθω ὁ ἐκ τῶν Ζ Β Γ Δ Ε στερεὸς καὶ ἔστω ὁ Η· λέγω ὅτι ὁ διὰ τῶν Α Β Γ Δ Ε στερεὸς δεκάκις εἰσὶν οἱ Η.

Καὶ ἔστι φανερὸν διὰ τῶν ἀριθμῶν· τοῦ γὰρ Α ὑποκειμένου, φέρ' εἰπεῖν, μονάδων κ' καὶ τοῦ Β μονάδων γ' καὶ τοῦ Γ μονάδων δ' καὶ τοῦ Δ μονάδων ε' καὶ τοῦ Ε μονάδων ϛ', ὁ ἐξ αὐτῶν στερεὸς γίνεται μονάδες ͵ζσ'. ἀλλὰ καὶ τοῦ Ζ ὄντος μονάδων β', ὅς ἐστι πυθμὴν τοῦ Α, ὁ ἐκ τούτου καὶ τῶν Β Γ Δ Ε στερεὸς δεκάκις γενόμενος ἔσται μονάδες ͵ζσ', ἴσος τῷ ἐκ τῶν Α Β Γ Δ Ε στερεῷ, τὸ δὲ γραμμικὸν ὑπὸ τοῦ Ἀπολλωνίου δέδεικται.

ιθ'. Ἀλλὰ δὴ ἔστωσαν δύο ἀριθμοὶ οἱ Α Β, ὧν ἑκάτερος ἐλάσσων μὲν ἑκατοντάδος μετρούμενος δὲ ὑπὸ δεκάδος, τῶν δὲ Γ Δ Ε ἕκαστος ἐλάσσων δεκάδος ἔστω, καὶ δέον ἔστω τὸν ἐκ τῶν Α Β Γ Δ Ε στερεὸν εἰπεῖν.

εἶναι τόσαι μυριάδες ὁμώνυμοι πρὸς τὸν Ζ, ὅσος εἶναι ὁ δεκαπλάσιος τοῦ Ε, ἐὰν δὲ τὸ προλεχθὲν πλῆθος διαιρούμενον διὰ τοῦ 4 δίδῃ ὑπόλοιπον 2, τὸ γινόμενον τῶν ἀριθμῶν Α, Β εἶναι τόσαι μυριάδες ὁμώνυμοι πρὸς τὸν Ζ, ὅσος εἶναι ὁ ἑκατονταπλάσιος τοῦ ἀριθμοῦ Ε, ὅταν δὲ τὸ ὑπόλοιπον εἶναι 3, τὸ ζητούμενον γινόμενον εἶναι ἴσον πρὸς τόσας μυριάδας ὁμωνύμους πρὸς τὸ Ζ, ὅσος εἶναι ὁ χιλιαπλάσιος τοῦ ἀριθμοῦ Ε.

18. Ἐπὶ δὲ τοῦ 19 θεωρήματος. Ἔστω ἀριθμός τις Α μικρότερος μὲν τοῦ 100 διαιρούμενος δὲ διὰ 10, καὶ ἄλλοι ὁσοιδήποτε ἀριθμοὶ μικρότεροι τοῦ 10, ὅπως οἱ Β, Γ, Δ, Ε καὶ ζητεῖται νὰ εὑρεθῇ τὸ γινόμενον τῶν ἀριθμῶν Α·Β·Γ·Δ·Ε.

Ἔστω ὁ ἀριθμὸς Ζ τὸ πηλίκον τῆς διαιρέσεως τοῦ Α διὰ τοῦ 10, δηλ. ὁ πυθμὴν τοῦ Α, καὶ ἂς ληφθῇ τὸ γινόμενον Ζ·Β·Γ·Δ·Ε = Η· λέγω, ὅτι τὸ ζητούμενον γινόμενον εἶναι ὁ 10Η.

Καὶ τοῦτο εἶναι φανερὸν ἐκ τῶν ἀριθμῶν· διότι ἔστω, ὅτι ὁ Α = 20 καὶ ὁ Β = 3, ὁ Γ = 4, ὁ Δ = 5 καὶ ὁ Ε = 6, ὁπότε τὸ γινόμενον αὐτῶν γίνεται 7200. Ἀλλὰ καὶ Ζ = 2, τὸ ὁποῖον εἶναι ὁ πυθμὴν τοῦ Α, ὁπότε 2·10·Β·Γ·Δ·Ε = 7200 = Α·Β·Γ·Δ·Ε. Τὴν γεωμετρικὴν ἀπόδειξιν τούτου ἔδωσεν ὁ Ἀπολλώνιος.

19. Ἔστωσαν τώρα δύο ἀριθμοὶ οἱ Α, Β, ἕκαστος τῶν ὁποίων εἶναι μικρότερος μὲν τοῦ 100 διαιρεῖται δὲ διὰ τοῦ 10 καὶ οἱ ἀριθμοὶ Γ, Δ, Ε ἕκαστος μικρότερος τοῦ 10, καὶ ζητεῖται νὰ εὑρεθῇ τὸ γινόμενον τῶν Α·Β·Γ·Δ·Ε.

Ἔστωσαν γὰρ τῶν Α Β πυθμένες οἱ Ζ Η· λέγω ὅτι ὁ ἐκ τῶν Α Β Γ Δ Ε στερεὸς τοῦ ἐκ τῶν Ζ Η Γ Δ Ε στερεοῦ ἑκατονταπλάσιός ἐστιν.

Φανερὸν δὲ καὶ τοῦτο διὰ τῶν ἀριθμῶν, τοῦ Α ὄντος μονάδων κʹ καὶ τοῦ Β μονάδων λʹ καὶ τοῦ Γ μονάδων βʹ καὶ τοῦ Δ μονάδων γʹ καὶ τοῦ Ε μονάδων δʹ καὶ τοῦ Ζ μονάδων βʹ καὶ τοῦ Η μονάδων γʹ· ὁ γὰρ ὑπὸ τῶν Α Β Γ Δ Ε στερεός ἐστιν μ^{α} ͵δυʹ, ὁ δὲ ὑπὸ Ζ Η Γ Δ Ε μονάδες ρμδʹ, οὗτος δὲ γενόμενος ἑκατοντάκις ποιεῖ μ^{α} ͵δυʹ. τὸ δὲ γραμμικὸν ἐκ τῶν Ἀπολλωνίου.

κʹ. Ἀλλὰ δὴ ἔστωσαν τρεῖς ἀριθμοὶ οἱ Α Β Γ, καὶ ἔστω ἕκαστος αὐτῶν ἐλάσσων μὲν ἑκατοντάδος μετρούμενος δὲ ὑπὸ δεκάδος, ἕκαστος δὲ τῶν Δ Ε Ζ ἔστω ἐλάσσων δεκάδος, καὶ ἔστωσαν τῶν Α Β Γ πυθμένες οἱ Η Θ Κ, καὶ εἰλήφθω ὁ ἐκ τῶν Η Θ Κ Δ Ε Ζ στερεὸς καὶ ἔστω ὁ Ξ· ὅτι ὁ ἐκ τῶν Α Β Γ Δ Ε Ζ στερεὸς ἴσος ἐστὶν χιλίοις τοῖς Ξ.

Ἔστι φανερὸν διὰ τῶν ἀριθμῶν, τοῦ Α ὄντος λόγου χάριν μονάδων κʹ καὶ τοῦ Β μονάδων λʹ καὶ τοῦ Γ μονάδων μʹ καὶ τοῦ Δ μονάδων βʹ καὶ τοῦ Ε μονάδων γʹ καὶ τοῦ Ζ μονάδων δʹ, τοῦ δὲ Η μονάδων βʹ καὶ τοῦ Θ μονάδων γʹ καὶ τοῦ Κ μονάδων δʹ· ὁ γὰρ ὑπὸ Α Β Γ Δ Ε Ζ στερεός ἐστιν μυριάδων νζʹ ἁπλῶν καὶ μονάδων ͵ς, ὁ δὲ ὑπὸ τῶν Η Θ Κ πυθμένων καὶ τῶν Δ Ε Ζ ἔσται μονάδων φοςʹ, αὗται δὲ χιλιάκις γενόμεναι, τουτέστιν ὁ ἐκ πάντων στερεός, γίνεται μυριάδων ἁπλῶν νζʹ καὶ μονάδων ͵ς.

καʹ. Ἀλλὰ δὴ ἔστωσαν πλείους τριῶν οἱ Α Β Γ Δ Ε, καὶ ἕκαστος ἐλάσσων μὲν ἑκατοντάδος μετρούμενος δὲ ὑπὸ δεκάδος, τῶν δὲ Ζ Η Θ ἕκαστος ἔστω ἐλάσσων δεκάδος.

Τὸ πλῆθος τῶν Α Β Γ Δ Ε πρότερον μετρείσθω ὑπὸ τετράδος κατὰ τὸν Ο, καὶ ἔστωσαν τῶν Α Β Γ Δ Ε πυθμένες οἱ Κ Λ Μ Ν Ξ· ὅτι ὁ ἐκ τῶν Α Β Γ Δ Ζ Η Θ στερεὸς

Ἔστωσαν πυθμένες τῶν Α, Β οἱ Ζ, Η· λέγω, ὅτι ὁ $A \cdot B \cdot \Gamma \cdot \Delta \cdot E = 100 \cdot Z \cdot H \cdot \Gamma \cdot \Delta \cdot E$.

Διότι καὶ τοῦτο εἶναι φανερὸν ἐκ τῶν ἀριθμῶν, ὅπου ἔστω τὸ $A = 20$, $B = 30$, $\Gamma = 2$, $\Delta = 3$, καὶ $E = 4$ καὶ $Z = 2$, καὶ τοῦ $H = 3$· διότι τὸ γινόμενον $A \cdot B \cdot \Gamma \cdot \Delta \cdot E$ εἶναι = μία μυριάς, καὶ $4400 = 14400$, τὸ δὲ γινόμενον $Z \cdot H \cdot \Gamma \cdot \Delta \cdot E = 144$, τὸ ὁποῖον ἐπὶ $100 = 14400$. Ἡ γεωμετρικὴ ἀπόδειξις αὐτοῦ ἔγινεν ὑπὸ τοῦ Ἀπολλωνίου.

20. Ἀλλὰ τώρα ἔστωσαν τρεῖς ἀριθμοὶ οἱ Α, Β, Γ, καὶ ἔστω ἕκαστος αὐτῶν μικρότερος μὲν τοῦ 100, διαιρούμενος δὲ διὰ 10, ἕκαστος δὲ τῶν Δ, Ε, Ζ ἔστω μικρότερος τοῦ 10, καὶ ἔστωσαν πυθμένες τῶν Α, Β, Γ οἱ Η, Θ, Κ, καὶ ἂς ληφθῇ τὸ γινόμενον $H \cdot \Theta \cdot K \cdot \Delta \cdot E \cdot Z = \Xi$· Τὸ γινόμενον $A \cdot B \cdot \Gamma \cdot \Delta \cdot E \cdot Z = 1000\ \Xi$.

Τοῦτο εἶναι φανερὸν ἐκ τῶν ἀριθμῶν, ὅταν π. χ. ὁ $A = 20$, $B = 30$, $\Gamma = 40$, $\Delta = 2$, $E = 3$, $Z = 4$, $H = 2$, $\Theta = 3$, $K = 4$· διότι τὸ γινόμενον $A \cdot B \cdot \Gamma \cdot \Delta \cdot E \cdot Z = 576000$, τὸ δὲ γινόμενον τῶν πυθμένων $H \cdot \Theta \cdot K \cdot \Delta \cdot E \cdot Z = 576$, τοῦτο δὲ ἐπὶ 1000, δηλ. τὸ τελικὸν γινόμενον $= 576000$.

21. Ἀλλὰ τώρα ἔστωσαν περισσότεροι τῶν τριῶν οἱ Α, Β, Γ, Δ, Ε καὶ ἕκαστος αὐτῶν μικρότερος μὲν τοῦ 100, διαιρούμενος δὲ διὰ 10, τῶν δὲ Ζ, Η, Θ ἕκαστος μικρότερος τοῦ 10.

Ἔστω πρῶτον τὸ πλῆθος τῶν Α, Β, Γ, Δ, Ε διαιρούμενον ἀκριβῶς διὰ 4 μὲ πηλίκον τὸν Ο, καὶ ἔστωσαν πυθμένες τῶν Α, Β, Γ, Δ, Ε οἱ Κ, Λ, Μ, Ν, Ξ· λέγω, ὅτι τὸ γινόμενον $A \cdot B \cdot \Gamma \cdot \Delta \cdot Z \cdot H \cdot \Theta =$ μὲ Ο ὁμωνύμους μυριάδας τόσας, ὅσαι μο-

ἴσος ἐστὶν μυριάσιν ὁμωνύμοις τῷ Ο ὅσαι μονάδες εἰσὶν ἐν τῷ στερεῷ τῷ ἐκ τῶν Κ Λ Μ Ν ἐπὶ τὸν ἐκ τῶν Ζ Η Θ.

Ἔστι δὲ φανερὸν διὰ τῶν ἀριθμῶν, τοῦ Α ὑποκειμένου λόγου χάριν μονάδων ι' καὶ τοῦ Β μονάδων κ' καὶ τοῦ Γ μονάδων λ' καὶ τοῦ Δ μονάδων μ', καὶ τῶν Κ Λ Μ Ν πυθμένων ὄντων μονάδων α' καὶ β' καὶ γ' καὶ δ'· ὁ ἄρα ἐκ τῶν Α Β Γ Δ στερεός ἐστιν ἁπλῶν μυριάδων κδ', ὁ δὲ ἐκ τῶν Α Β Γ Δ Ζ Η Θ μυριάδων ἁπλῶν ρμδ', ὁ δὲ ἐκ τῶν Κ Λ Μ Ν πυθμένων μονάδων κδ'· οὗτος δὲ γενόμενος ἐπὶ τὸν ἐκ τῶν Ζ Η Θ, ὄντα μονάδων ϛ', ποιεῖ μονάδας ρμδ', ὅσαι μυριάδες ἁπλαῖ εἰσιν τοῦ ἐκ τῶν Α Β Γ Δ Ζ Η Θ στερεοῦ, διὰ τὸ καὶ τετράδα ἅπαξ μετρεῖν τὸ πλῆθος τῶν Α Β Γ Δ.

Ἀλλὰ δὴ τὸ πλῆθος τῶν Α Β Γ Δ Ε μὴ μετρείσθω ὑπὸ τετράδος· μετρούμενον δὴ ἤτοι α' ἢ β' ἢ γ' λείψει. εἰ μὲν οὖν ἕνα λείψει, ἔσται ὁ ἐκ τῶν Α Β Γ Δ Ε Ζ Η Θ στερεὸς μυριάδων ὁμωνύμων τῷ Ο, ὅσος ἐστὶν ὁ ἐκ τῶν Κ Λ Μ Ν Ξ στερεὸς ἐπὶ τὸν ἐκ τῶν Ζ Η Θ γενόμενος δεκάκις, εἰ δὲ δύο λείψει, ἑκατοντάκις [γενόμενος ὁ εἰρημένος στερεός]. εἰ δὲ τρεῖς λείψει, ὅσων ὁ ἐκ τῶν Κ Λ Μ Ν Ξ ἐπὶ τὸν ἐκ τῶν Ζ Η Θ χιλιάκις γενόμενος ἔσται μονάδων, τοσούτων μυριάδων ὁμωνύμων τῷ Ο. τὸ δὲ γραμμικὸν ἐκ τοῦ στοιχείου δῆλον.

κβ'. Ἔστω ὁ μὲν Α ἐλάσσων μὲν χιλιάδος μετρούμενος δὲ ὑπὸ ἑκατοντάδος, ἕκαστος δὲ τῶν Β Γ Δ ἐλάσσων δεκάδος, καὶ δέον ἔστω τὸν ἐκ τῶν Α Β Γ Δ στερεὸν εἰπεῖν.

Κείσθω γὰρ τοῦ μὲν Α πυθμὴν ὁ Ε, ὁ δὲ ἐκ τῶν Ε Β Γ Δ ὁ Ζ· ὅτι ὁ ἐκ τῶν Α Β Γ Δ στερεὸς ἑκατοντάκις ἐστὶν ὁ Ζ.

Φανερὸν δὲ καὶ διὰ τοῦτο διὰ τῶν ἀριθμῶν, τοῦ Α ὑποκειμένου, φέρ' εἰπεῖν, μονάδων τ' καὶ τοῦ Β μονάδων γ' καὶ τοῦ Γ μονάδων δ' καὶ τοῦ Δ μονάδων ε'· ὁ μὲν γὰρ ὑπὸ τῶν Α Β Γ Δ ἐστὶν μ^{α} ͵η, ὁ δὲ ὑπὸ τῶν Ε Β Γ Δ ἐστὶν μονάδων ρπ'· οὗτος νάδες εἶναι εἰς τὸ γινόμενον Κ · Λ · Μ · Ν ἐπὶ τὸν Ζ · Η · Θ ·

Εἶναι δὲ φανερὸν τοῦτο ἐκ τῶν ἀριθμῶν, ὅταν, ἔστω Α = 10, Β = 20, Γ = 30, Δ = 40, καὶ οἱ πυθμένες Κ, Λ, Μ, Ν εἶναι 1, 2, 3, 4· τὸ γινόμενον ἄρα Α · Β · Γ · Δ = 240000, τὸ δὲ Α · Β · Γ · Δ · Ζ · Η · Θ = 1440000, τὸ δὲ γινόμενον τῶν πυθμένων Κ · Λ · Μ · Ν = 24· τοῦτο ἐπὶ τὸ γινόμενον Ζ · Η · Θ = 6, = 144, ὅσαι εἶναι αἱ μυριάδες τοῦ γινομένου Α · Β · Γ · Δ · Ζ · Η · Θ, διότι τὸ πλῆθος τῶν Α, Β, Γ, Δ διαιρούμενον διὰ 4 δίδει πηλίκον 1.

Ἀλλὰ τώρα τὸ πλῆθος τῶν Α, Β, Γ, Δ, Ε ἂς μὴ διαιρῆται ἀκριβῶς διὰ 4· καὶ ἔστω, ὅτι διαιρούμενον ἀφίνει ὑπόλοιπον 1 ἢ 2 ἢ 3. Ἐὰν τὸ ὑπόλοιπον εἶναι 1 τὸ γινόμενον Α · Β · Γ · Δ · Ε · Ζ · Η · Θ θὰ εἶναι τόσαι μυριάδες ὁμώνυμοι πρὸς τὸν Ο, ὅσος εἶναι τὸ γινόμενον Κ · Λ · Μ · Ν · Ξ ἐπὶ τὸ γινόμενον Ζ · Η · Θ ἐπὶ 10, ἐὰν δὲ τὸ ὑπόλοιπον εἶναι 2, τότε ἐπὶ 100, ἐὰν δὲ τὸ ὑπόλοιπον εἶναι 3, τότε ἐπὶ 1000. Ἡ δὲ γεωμετρικὴ ἀπόδειξις ἔγινεν ἐκ τῆς στοιχειώδους πραγματείας (τοῦ Ἀπολλωνίου).

22. Ἔστω ὁ μὲν Α μικρότερος μὲν τοῦ 1000, διαιρούμενος δὲ διὰ 100, ἕκαστος δὲ τῶν Β, Γ, Δ μικρότερος τοῦ 10, καὶ ζητεῖται νὰ εὑρεθῇ τὸ γινόμενον τῶν Α, Β, Γ, Δ.

Διότι, ἂς ληφθῇ τοῦ μὲν Α ὁ πυθμὴν Ε, τὸ γινόμενον δὲ Ε · Β · Γ · Δ = Ζ· λέγω, ὅτι τὸ γινόμενον Α · Β · Γ · Δ = 100 Ζ.

Καὶ τοῦτο εἶναι φανερὸν ἐκ τῶν ἀριθμῶν, ὅταν π.χ. τὸ Α = 300 τὸ Β = 3, τὸ Γ = 4, τὸ Δ = 5· διότι τὸ μὲν γινόμενον Α · Β · Γ · Δ = 10000 + 8000, τὸ δὲ 3 · 3 · 4 · 5 = 180· εἶναι δὲ 180 · 100 = 18000.

δὲ γενόμενος ἑκατοντάκις ἔσται μ^α ͵η. τὸ δὲ γραμμικὸν ἐκ τοῦ στοιχείου δῆλον.

κγ΄. Ἐπὶ δὲ τοῦ κδ΄ θεωρήματος. Τοῦ Α ὑποκειμένου λόγου χάριν μονάδων σ΄ καὶ τοῦ Β μονάδων τ΄ καὶ τοῦ Γ μονάδων β΄ τοῦ δὲ Δ μονάδων γ΄ καὶ τοῦ Ε μονάδων δ΄, ὁ στερεὸς ἐξ αὐτῶν ἔσται μυριάδων ἁπλῶν ρμδ΄, ἐπεὶ τὸ διπλάσιον τοῦ πλήθους τῶν Α Β μετρεῖται ὑπὸ τετράδος ἅπαξ [κατὰ τὸν Κ], ὁ δὲ ὑπὸ τῶν Ζ Η πυθμένων καὶ τῶν Γ Δ Ε ἐστιν μονάδων ρμδ΄ [ὁ Θ στερεός· ἁπλῶν οὖν μυριάδων ρμδ΄ ἐστὶν ὁ ἐκ τῶν Α Β Γ Δ Ε στερεός].

Ἐὰν δὲ τὸ διπλάσιον τοῦ πλήθους τῶν Α Β μὴ μετρῆται ὑπὸ τετράδος, δῆλον ὅτι μετρούμενον κατὰ τὸν Κ λείψει δύο· τοῦτο γὰρ ἀνώτερον ἐδείχθη. διὰ δὴ τοῦτο [ἐκ τοῦ λείπεσθαι δύο] μυριάδες εἰσὶν ἑκατὸν ὁμώνυμοι τῷ Κ, καὶ ἔστιν ὁ ἐκ τῶν Α Β Γ Δ Ε στερεὸς ὁ Θ ἴσος τῷ ἐκ τῶν Ζ Η Γ Δ Ε στερεῷ ἐπὶ τὰς ἑκατὸν μυριάδας ὁμωνύμους τῷ Κ. τὸ γραμμικὸν ὡς Ἀπολλώνιος.

κδ΄. Ἐπὶ δὲ τοῦ κε΄ θεωρήματος. Ἔστω τῶν μὲν Α Β ἑκάτερος ἐλάσσων μὲν ἑκατοντάδος μετρούμενος δὲ ὑπὸ δεκάδος, ἕκαστος δὲ τῶν Γ Δ Ε [ἔστω] ἐλάσσων δεκάδος, καὶ δέον ἔστω τὸν ἐξ αὐτῶν στερεὸν εἰπεῖν.

Ἔστωσαν γὰρ τῶν Α Β πυθμένες οἱ Θ Κ, καὶ τῷ ἐκ τῶν Θ Κ Γ Δ Ε στερεῷ ἴσος ἔστω ὁ Λ· ὅτι ὁ ἐκ τῶν Α Β Γ Δ Ε στερεὸς ἴσος ἐστὶν ἑκατὸν τοῖς Λ.

Ἔστι δὲ φανερὸν διὰ τῶν ἀριθμῶν, τοῦ Α ὄντος μονάδων κ΄ καὶ τοῦ Β μονάδων κ΄, καὶ τοῦ Γ μονάδων ε΄ καὶ τοῦ Δ μονάδων ς΄ καὶ τοῦ Ε μονάδων ζ΄, καὶ τῶν Θ Κ πυθμένων ὄντων μονάδων β΄· ὁ γὰρ ὑπὸ τῶν Θ Κ Γ Δ Ε γίνεται στερεὸς μονάδων ωμ΄, οὗτος δὲ ἑκατοντάκις γενόμενος ἔσται μυριάδων η΄ μονάδων ͵δ, ἴσος τῷ ἐκ τῶν Α Β Γ Δ Ε στερεῷ ἀριθμῷ.

Ἡ δὲ γεωμετρικὴ ἀπόδειξις εἶναι φανερὰ ἐκ τῆς στοιχειώδους πραγματείας (τοῦ Ἀπολλωνίου).

23. Ἐπὶ δὲ τοῦ 24 θεωρήματος. Ἔστω π.χ. $A = 200$, $B = 300$, $\Gamma = 2$, $\Delta = 3$, $E = 4$, ὁπότε τὸ γινόμενον αὐτῶν θὰ εἶναι $10000^1 \cdot 144$, ἐπειδὴ τὸ διπλάσιον τοῦ πλήθους τῶν Α, Β διαιρεῖται ἀκριβῶς διὰ 4 [κατὰ τὸν $K = 1$] τὸ δὲ γινόμενον τῶν πυθμένων $Z \cdot H$ ἐπὶ $\Gamma \cdot \Delta \cdot E = 144$ [ἐὰν τὸ γινόμενον κληθῇ Θ, τὸ γινόμενον $A \cdot B \cdot \Gamma \cdot \Delta \cdot E = 144 \cdot 10000^1$].

Ἐὰν δὲ τὸ διπλάσιον τοῦ πλήθους τῶν Α, Β δὲν διαιρεῖται ἀκριβῶς διὰ 4, εἶναι φανερόν, ὅτι διαιρούμενον θὰ ἀφήσῃ ὑπόλοιπον 2 καὶ πηλίκον Κ· διότι αὐτὸ ἀπεδείχθη εἰς τὰ προηγούμενα. Ἐπειδὴ λοιπὸν [ὑπάρχει ὑπόλοιπον 2] ὑπάρχουν ἑκατὸν ὁμώνυμοι πρὸς τὸν Κ μυριάδες (σημ. ἐνταῦθα τὸ 2 σημαίνει 1 καὶ 2 μηδενικὰ δεξιὰ $= 100$, ἐὰν δὲ τὸ $K = 2, 3, 4, 5, \ldots$, ὁμώνυμοι μυριάδες τοῦ Κ σημαίνει 10000^2, 10000^3, 10000^4, $10000^5 \ldots$), καὶ εἶναι τὸ γινόμενον $A \cdot B \cdot \Gamma \cdot \Delta \cdot E = \Theta = Z \cdot H \cdot \Gamma \cdot \Delta \cdot E \cdot 100 \cdot 10000^1$. (Εἰς τὴν πρώτην δύναμιν ὁ 10.000, διότι $K = 1$). Ἡ γεωμετρικὴ ἀπόδειξις εἶναι ὡς ἡ τοῦ Ἀπολλωνίου.

24. Ἐπὶ δὲ τοῦ 25 θεωρήματος. Ἔστω ἑκάτερος τῶν Α, Β μικρότερος μὲν τοῦ 100, διαιρούμενος δὲ διὰ τοῦ 10, ἕκαστος δὲ τῶν Γ, Δ, Ε μικρότερος τοῦ 10, καὶ ζητεῖται τὸ γινόμενον αὐτῶν.

Διότι, ἔστωσαν πυθμένες τῶν Α, Β οἱ Θ, Κ καὶ τὸ γινόμενον $\Theta \cdot K \cdot \Gamma \cdot \Delta \cdot E = \Lambda$· λέγω, ὅτι τὸ γινόμενον $A \cdot B \cdot \Gamma \cdot \Delta \cdot E = 100 \cdot \Lambda$.

Εἶναι δὲ τοῦτο φανερὸν ἐκ τῶν ἀριθμῶν, ὅταν $A = 20$, $B = 20$, $\Gamma = 5$, $\Delta = 6$, $E = 7$, καὶ οἱ πυθμένες $\Theta = K = 2$· ὁπότε τὸ γινόμενον $\Theta \cdot K \cdot \Gamma \cdot \Delta \cdot E = 840$, καὶ οὗτος ἐπὶ $100 = 8 \cdot 10000 + 4000 = 84000 = A \cdot B \cdot \Gamma \cdot \Delta \cdot E$.

κε΄. Τὸ δ᾽ ἐπὶ πᾶσι θεώρημα κς΄ πρότασιν ἔχει καὶ ἀπόδειξιν τοιαύτην. Ἔστωσαν δύο ἀριθμοὶ ἢ πλείους οἱ Α Β, ὧν ἕκαστος ἐλάσσων μὲν χιλιάδος μετρούμενος δὲ ὑπὸ ἑκατοντάδος, καὶ ἄλλοι ἀριθμοὶ ὁσοιδήποτε οἱ Γ Δ Ε, ὧν ἕκαστος ἐλάσσων μὲν ἑκατοντάδος μετρούμενος δὲ ὑπὸ δεκάδος, καὶ ἄλλοι πάλιν ὁσοιδηποτοῦν ἀριθμοὶ οἱ Ζ Η Θ, ὧν ἕκαστος ἐλάσσων δεκάδος, καὶ δέον ἔστω τὸν ἐκ τῶν Α Β Γ Δ Ε Ζ Η Θ στερεὸν εἰπεῖν.

Ἔστωσαν γὰρ τῶν Α Β Γ Δ Ε πυθμένες οἱ Λ Μ Ν Ξ Ο. ὁ δὴ διπλάσιος τοῦ πλήθους τῶν Α Β μετὰ τοῦ τῶν Γ Δ Ε ἁπλοῦ ἀριθμοῦ ἤτοι μετρεῖται ὑπὸ τετράδος ἢ οὔ.

Μετρείσθω πρότερον ὑπὸ τετράδος κατὰ τὸν Κ, καὶ ὑποτετάχθωσαν τοῖς μὲν Α Β ἑκατοντάδες αἱ Π Ρ, τοῖς δὲ Γ Δ Ε δεκάδες αἱ Σ Τ Υ [καὶ ὁ διπλάσιος ἄρα τοῦ πλήθους τῶν Π Ρ μετὰ τοῦ πλήθους τῶν Σ Τ Υ μετρεῖται ὑπὸ τετράδος κατὰ τὸν Κ]. καὶ φανερὸν ὅτι ὁ ἐκ τῶν Π Ρ Σ Τ Υ ἐπὶ τὸν ἐκ τῶν Λ Μ Ν Ξ Ο ἴσος ἐστὶ τῷ ἐκ τῶν Α Β Γ Δ Ε στερεῷ. εἰλήφθω δὴ ὁ ἐκ τῶν Λ Μ Ν Ξ Ο Ζ Η Θ στερεὸς καὶ ἔστω ὁ Φ· ὅτι ὁ ἐκ τῶν Α Β Γ Δ Ε Ζ Η Θ στερεὸς μυριάδες εἰσὶν τοσαῦται ὁμώνυμοι τῷ Κ ὅσαι μονάδες εἰσὶν ἐν τῷ Φ. τοῦτο δὲ γραμμικῶς Ἀπολλώνιος ἀπέδειξεν.

Ἐὰν δὲ ὁ διπλάσιος τοῦ πλήθους τῶν Α Β μετὰ τοῦ πλήθους τῶν Γ Δ Ε μὴ μετρῆται ὑπὸ τετράδος, μετρούμενος ἄρα κατὰ τὸν Κ λείψει ἢ ἕνα ἢ δύο ἢ τρεῖς. εἰ μὲν οὖν ἕνα λείψει, ὁ ἐκ τῶν Π Ρ Σ Τ Υ στερεὸς μυριάδες εἰσὶν δέκα ὁμώνυμοι τῷ Κ, εἰ δὲ δύο, μυριάδες ἑκατὸν ὁμώνυμοι τῷ Κ, εἰ δὲ τρεῖς, μυριάδες χίλιαι ὁμώνυμοι τῷ Κ. καὶ δῆλον

25. Τὸ δὲ γενικὸν θεώρημα 26 (τοῦ Ἀπολλωνίου) ἔχει τὴν ἑξῆς ἐκφώνησιν καὶ ἀπόδειξιν. Ἔστωσαν δύο ἢ περισσότεροι ἀριθμοὶ οἱ Α, Β, τῶν ὁποίων ἕκαστος νὰ εἶναι μικρότερος μὲν τοῦ 1000 νὰ διαιρῆται ὅμως διὰ τοῦ 100, καὶ ἄλλοι ὁσοιδήποτε ἀριθμοὶ οἱ Γ, Δ, Ε, τῶν ὁποίων ἕκαστος μὲν νὰ εἶναι μικρότερος μὲν τοῦ 100, νὰ διαιρῆται ὅμως διὰ 10, καὶ ἄλλοι πάλιν ὁσοιδήποτε ἀριθμοὶ οἱ Ζ, Η, Θ, τῶν ὁποίων ἕκαστος νὰ εἶναι μικρότερος τοῦ 10, καὶ ζητεῖται νὰ εὑρεθῇ τὸ γινόμενον Α·Β·Γ·Δ·Ε·Ζ·Η·Θ.

Ἔστωσαν πυθμένες τῶν Α, Β, Γ, Δ, Ε οἱ Λ, Μ, Ν, Ξ, Ο. Ὁ διπλάσιος τοῦ πλήθους τῶν Α, Β σὺν τὸ πλῆθος τῶν Γ, Δ, Ε ἢ διαιρεῖται ἀκριβῶς διὰ 4 ἢ ὄχι.

Ἔστω πρῶτον ὅτι διαιρεῖται ἀκριβῶς καὶ δίδει πηλίκον Κ, καὶ κάτωθεν τῶν εὐθυγράμμων τμημάτων Α, Β ἂς γραφῶσιν αἱ ἑκατοντάδες Π, Ρ, κάτωθεν δὲ τῶν Γ, Δ, Ε αἱ δεκάδες Σ, Τ, Υ [καὶ τὸ διπλάσιον ἄρα τοῦ πλήθους τῶν Π, Ρ σὺν τὸ πλῆθος τῶν Σ, Τ, Υ διαιρεῖται διὰ 4 ἀκριβῶς καὶ δίδει πηλίκον Κ]. Καὶ εἶναι φανερόν, ὅτι τὸ γινόμενον Π·Ρ·Σ·Τ·Υ ἐπὶ τὸ γινόμενον Λ·Μ·Ν·Ξ·Ο = μὲ τὸ γινόμενον Α·Β·Γ·Δ·Ε. Ἂς ληφθῇ τὸ γινόμενον Λ·Μ·Ν·Ξ·Ο·Ζ·Η·Θ =Φ· λέγω, ὅτι τὸ γινόμενον Α·Β·Γ·Δ·Ε·Ζ·Η·Θ = τόσαι μυριάδες ὁμώνυμοι πρὸς τὸν Κ, ὅσαι μονάδες εἶναι εἰς τὸν Φ. Τοῦτο δὲ τὸ ἀπέδειξε γεωμετρικῶς ὁ Ἀπολλώνιος.

Ἐὰν δὲ ὁ διπλάσιος τοῦ πλήθους τῶν Α, Β σὺν τὸ πλῆθος τῶν Γ, Δ, Ε δὲν διαιρεῖται ἀκριβῶς διὰ 4, θὰ ἀφήσῃ πηλίκον Κ καὶ ὑπόλοιπον ἢ 1 ἢ 2 ἢ 3. Ἐὰν τὸ ὑπόλοιπον εἶναι 1, τὸ γινόμενον Π·Ρ·Σ·Τ·Υ θὰ εἶναι δέκα μυριάδες ὁμώνυμοι πρὸς τὸν Κ, ἐὰν τὸ ὑπόλοιπον εἶναι 2, τὸ προηγούμενον γινόμενον θὰ εἶναι ἑκατὸν μυριάδες ὁμώνυμοι πρὸς τὸν Κ, ἐὰν δὲ 3, θὰ εἶναι 1000 μυριάδες ὁμώνυμοι πρὸς τὸν Κ. Καὶ εἶναι φανερὸν (ἐκ τῶν ἀποδείξεων *ἐκ τῶν γεγραμμένων ὅτι ὁ ἐκ τῶν Α Β Γ Δ Ε Ζ Η Θ στερεὸς μυριάδες εἰσὶν τοσαῦται, ὅσος ὁ δεκαπλάσιος τοῦ Φ, ὁμώνυμοι τῷ Κ ἀριθμῷ, ἢ ὅσος ὁ ἑκατονταπλάσιος τοῦ Φ, ὁμώνυμοι τῷ Κ, ἢ ὅσος ὁ χιλιαπλάσιος τοῦ Φ, ὁμώνυμοι τῷ Κ.*

Τούτου δὴ [τοῦ θεωρήματος] προτεθεωρημένου πρόδηλον, πῶς ἐστιν τὸν δοθέντα στίχον πολλαπλασιάσαι καὶ εἰπεῖν τὸν γενόμενον ἀριθμὸν ἐκ τοῦ τὸν πρῶτον ἀριθμὸν ὃν εἴληφε τὸ πρῶτον τῶν γραμμάτων ἐπὶ τὸν δεύτερον ἀριθμὸν ὃν εἴληφε τὸ δεύτερον τῶν γραμμάτων πολλαπλασιασθῆναι καὶ τὸν γενόμενον ἐπὶ τὸν τρίτον ἀριθμὸν ὃν εἴληφε τὸ τρίτον γράμμα καὶ κατὰ τὸ ἑξῆς περαίνεσθαι μέχρι τοῦ διεξοδεύεσθαι τὸν στίχον, ὃν εἶπεν Ἀπολλώνιος ἐν ἀρχῇ [κατὰ τὸν στίχον] οὕτως·

[Σύγχρονος διατύπωσις ἁπλῆ τοῦ προηγουμένου γενικοῦ θεωρήματος.

Ἔστω ὅτι ζητεῖται τὸ γινόμενον, π.χ. :
1) ἀριθμῶν μικροτέρων τοῦ 100.000, διαιρουμένων ὅμως διὰ 10.000, 2) ἀριθμῶν μικροτέρων τοῦ 10.000, διαιρουμένων ὅμως διὰ 1.000, 3) ἀριθμῶν μικροτέρων τοῦ 1.000, διαιρουμένων ὅμως διὰ 100, 4) ἀριθμῶν μικροτέρων τοῦ 100, διαιρουμένων ὅμως διὰ 10, 5) ἀριθμῶν μονοψηφίων. Π. χ. 80000 . 70000 . 60000 . 6000 . 5000 . 4000 . 400 . 300 . 40 . 30 . 6 . 5.

Τὸ πλῆθος τῶν (1) μικροτέρων τῶν 100.000, ἀριθμῶν εἶναι =3, (α)
Τὸ πλῆθος τῶν (2) μικροτέρων τῶν 10.000, ἀριθμῶν εἶναι =3, (β)
Τὸ πλῆθος τῶν (3) μικροτέρων τῶν 1000, ἀριθμῶν εἶναι =2, (γ)
Τὸ πλῆθος τῶν (4) μικροτέρων τῶν 100, ἀριθμῶν εἶναι =2, (δ)
Τὸ πλῆθος τῶν μονοψηφίων ἀριθμῶν εἶναι =2.

Λαμβάνομεν τοὺς πυθμένας τῶν ἀριθμῶν καὶ σχηματίζομεν τὸ γινόμενον αὐτῶν, ὁπότε ἔχομεν :

τοῦ Ἀπολλωνίου), ὅτι τὸ γινόμενον $A \cdot B \cdot \Gamma \cdot \Delta \cdot E \cdot Z \cdot H \cdot \Theta$ εἶναι τόσαι μυριάδες, ὅσος εἶναι ὁ δεκαπλάσιος τοῦ Φ, ὁμώνυμοι πρὸς τὸν ἀριθμὸν Κ, ἢ ὅσος ὁ ἑκατονταπλάσιος τοῦ Φ, ὁμώνυμοι τοῦ Κ, ἢ ὅσος ὁ χιλιαπλάσιος τοῦ Φ, ὁμώνυμοι πρὸς τὸν Κ.

Ἀφοῦ τώρα ἔχει ἐξετασθῆ [τὸ θεώρημα] αὐτὸ εἶναι φανερόν, πῶς εἶναι δυνατὸν νὰ γίνῃ πολλαπλασιασμὸς εἰς δοθέντα στίχον καὶ νὰ εὑρεθῇ τὸ γινόμενον, ἀφοῦ πολλαπλασιασθῇ ὁ πρῶτος ἀριθμὸς τοῦ πρώτου γράμματος τοῦ στίχου, ἐπὶ τὸν ἀριθμὸν τοῦ δευτέρου γράμματος τοῦ στίχου, τὸ προκῦπτον γινόμενον ἐπὶ τὸν τρίτον ἀριθμὸν τοῦ τρίτου γράμματος τοῦ στίχου καὶ οὕτω καθ' ἑξῆς, μέχρις ἐξαντλήσεως τοῦ στίχου, ὅπως π. χ. εἰς τὸν στίχον, τὸν ὁποῖον εἶπεν ὁ Ἀπολλώνιος εἰς τὴν ἀρχὴν τῆς πραγματείας του:

$\Pi = 8 \cdot 7 \cdot 6 \cdot 6 \cdot 5 \cdot 4 \cdot 4 \cdot 3 \cdot 4 \cdot 3 \cdot 6 \cdot 5$ (οἱ μονοψήφιοι ἀριθμοὶ λαμβάνονται ὡς πυθμένες). Καλοῦμεν:

Τὸ τετραπλάσιον τοῦ πλήθους τῶν ἀριθμῶν (α) εἶναι $4 \cdot 3 = 12 = \Sigma_1$. Τὸ τριπλάσιον τοῦ πλήθους τῶν ἀριθμῶν (β) εἶναι $3 \cdot 3 = 9 = \Sigma_2$. Τὸ διπλάσιον τοῦ πλήθους τῶν ἀριθμῶν (γ) εἶναι $2 \cdot 2 = 4 = \Sigma_3$. Τὸ πλῆθος τῶν δεκάδων τῶν ἀριθμῶν (δ) εἶναι $1 \cdot 2 = 2 = \Sigma_4$. Τὸ ἄθροισμα τῶν πληθῶν αὐτῶν εἶναι $\Sigma = 12 + 9 + 4 + 2 = 27$. Διαιροῦμεν τὸν 27 διὰ τοῦ 4, ὁπότε ἔχομεν πηλίκον 6 καὶ ὑπόλοιπον 3. Τότε τὸ ζητούμενον τελικὸν γινόμενον Γ θὰ εἶναι:

$$\Gamma = \Pi \cdot 1000 \cdot (10000)^6.$$

Ἐὰν παραστήσωμεν τὸν $\Sigma = 4K + \upsilon$ καὶ

$\upsilon = 0, \quad K = 1,$ τότε $\Gamma = \Pi \cdot \quad 1 \cdot (10000)^1$

$\upsilon = 1, \quad K = 2,$ » $\Gamma = \Pi \cdot \quad 10 \cdot (10000)^2$

$\upsilon = 2, \quad K = 3,$ » $\Gamma = \Pi \cdot 100 \cdot (10000)^3$

$\upsilon = 3, \quad K = 4,$ » $\Gamma = \Pi \cdot 1000 \cdot (10000)^4$ κ.λπ.

Ἡ ἀπόδειξις τοῦ Ἀπολλωνίου δὲν ἐσώθη].

Ἀρτέμιδος κλεῖτε κράτος ἔξοχον ἐννέα κοῦραι (τὸ δὲ κλεῖτέ φησιν ἀντὶ τοῦ ὑπομνήσατε).

Ἐπεὶ οὖν γράμματά ἐστιν λη′ τοῦ στίχου, ταῦτα δὲ περιέχει ἀριθμοὺς δέκα τοὺς ρ′ τ′ σ′ τ′ ρ′ τ′ σ′ χ′ υ′ ρ′, ὧν ἕκαστος ἐλάσσων μέν ἐστιν χιλιάδος μετρεῖται δὲ ὑπὸ ἑκατοντάδος, καὶ ἀριθμοὺς ιζ′ τοὺς μ′ ι′ ο′ κ′ λ′ ι′ κ′ ο′ ξ′ ο′ ο′ ν′ ν′ ν′ κ′ ο′ ι′, ὧν ἕκαστος ἐλάσσων μέν ἐστιν ἑκατοντάδος μετρεῖται δὲ ὑπὸ δεκάδος, καὶ τοὺς λοιποὺς [σὺν ταῖς μονάσιν] ια′ τοὺς α′ ε′ δ′ ε′ ε′ α′ ε′ ε′ ε′ α′ α′, ὧν ἕκαστος ἐλάσσων δεκάδος, ἐὰν ἄρα [τοὺς δέκα ἀριθμοὺς διπλασιάσωμεν καὶ τοὺς γενομένους κ′ προσθῶμεν τοῖς εἰρημένοις ἁπλῶς ἀριθμοῖς ἑπτακαίδεκα, τὰ γενόμενα ὁμοῦ λζ′ ἕξομεν τῶν ὑπ᾽ αὐτοῦ γενομένων ἀναλόγων, κἂν] τοῖς μὲν δέκα ἀριθμοῖς ὑποτάξωμεν ἰσαρίθμους δέκα κατὰ τάξιν ἑκατοντάδος, τοῖς δὲ ιζ′ ὁμοίως ὑποτάξωμεν δεκάδας ιζ′, φανερὸν ἐκ τοῦ ἀνώτερον λογιστικοῦ θεωρήματος ιβ′ ὅτι δέκα ἑκατοντάδες μετὰ τῶν ιζ′ δεκάδων ποιοῦσι μυριάδας ἐνναπλᾶς δέκα. [αἱ γὰρ δέκα ἑκατοντάδες δὶς γενόμεναι, τουτέστιν κ′, καὶ προσλαβοῦσαι τὰς ιζ′ δεκάδας γίνονται λζ′ ἀναλόγων ὄντα· μερισθέντα δὲ τὰ λζ′ εἰς τὸν δ′ ποιεῖ τὸν ἐκ τοῦ μερισμοῦ θ′ καὶ καταλείπεται α′, ὡς εἶναι μυριάδας ἐνναπλᾶς δέκα τὰ ἐκ τῶν ἑκατοντάδων δέκα καὶ δεκάδων ιζ′·]

Ἐπεὶ δὲ καὶ πυθμένες ὁμοῦ τῶν μετρουμένων ἀριθμῶν ὑπὸ ἑκατοντάδος καὶ τῶν μετρουμένων ὑπὸ δεκάδος εἰσὶν οἱ ὑποκείμενοι κζ′

α′ γ′ β′ γ′ α′ γ′ β′ ϛ′ δ′ α′
δ′ α′ ζ′ β′ γ′ α′ β′ ζ′ ϛ′ ζ′ ζ′ ε′ ε′ ε′ β′ ζ′ α′,

ΜΑΡΤΥΡΙΑΙ

Ἐννέα Κόραι (Μοῦσαι) ὑμνήσατε τὸ ἔξοχον κράτος τῆς Ἀρτέμιδος (λέγει δὲ ἐδῶ τὸ κλεῖτε ἀντὶ τοῦ ὑμνήσατε).

Ἐπειδὴ λοιπὸν τὰ γράμματα τοῦ στίχου εἶναι 38, εἰς ταῦτα δὲ ὑπάρχουσι δέκα (10) ἀριθμοί, οἱ, ρʹ τʹ σʹ τʹ ρʹ τʹ σʹ χʹ υʹ ρʹ δηλ. 100 300 200 300 100 300 200 600 400 100, τῶν ὁποίων ἕκαστος εἶναι μικρότερος μὲν τοῦ 1000 διαιρεῖται ὅμως διὰ τοῦ 100, καὶ δέκα ἑπτὰ (17) ἀριθμοί, οἱ μʹ ιʹ οʹ κʹ λʹ ιʹ κʹ οʹ ξʹ οʹ οʹ νʹ νʹ νʹ κʹ οʹ ιʹ δηλ. 40 10 70 20 30 10 20 70 60 70 70 50 50 50 20 70 10 τῶν ὁποίων ἕκαστος εἶναι μικρότερος μὲν τοῦ 100 διαιρεῖται ὅμως διὰ τοῦ 10, καὶ οἱ ἄλλοι ἕνδεκα (11) μονοψήφιοι, οἱ αʹ εʹ δʹ εʹ εʹ αʹ εʹ εʹ εʹ αʹ αʹ δηλ. 1 5 4 5 5 1 5 5 5 1 1 τῶν ὁποίων ἕκαστος εἶναι μικρότερος τοῦ 10, ἐὰν ἄρα λάβωμεν τὸν διπλάσιον ἀριθμὸν τοῦ πλήθους τῶν δέκα (ἑκατοντάδων) καὶ τὸ ἄθροισμα αὐτῶν $2 \cdot 10 = 20$ καὶ εἰς αὐτοὺς προσθέσωμεν τὸ πλῆθος ἁπλῶς τῶν δέκα ἑπτὰ δεκάδων, ἤτοι $20 + 17 = 37$, θὰ λάβωμεν τὴν σχετικὴν ἀναλογίαν (κατὰ τὸ γενικὸν θεώρημα), καὶ ἂν κάτωθεν ἑκάστου γράμματος θέσωμεν τὸν ἀντίστοιχον ἀριθμόν, εἶναι φανερὸν ἐκ τοῦ προηγουμένου 12ου ἀριθμητικοῦ θεωρήματος (σημ. Ἐννοεῖ τοῦ κατὰ τὴν ἀρίθμησιν τοῦ Πάππου 12ου θεωρήματος, τὸ ὁποῖον δὲν ἐσώθη. Ἡ δὲ ἀρίθμησις τοῦ Πάππου ἀρχίζει προηγουμένως ἀπὸ τοῦ ἡμίσεος τοῦ 14ου θεωρήματος), ὅτι αἱ δέκα ἑκατοντάδες σὺν δέκα ἑπτὰ δεκάδες δίδουσι δέκα ἐνναπλᾶς μυριάδας (σημ. Κατὰ τὸ γενικὸν θεώρημα εἶναι $37 : 4$, $37 = 4 \cdot 9 + 1$, ὁπότε τὸ μὲν 1 σημαίνει 10 τὸ δὲ 9 σημαίνει 10000^9 ἤτοι $10 \cdot (1000)^9$).

[Διότι αἱ δέκα ἑκατοντάδες ἐπὶ δύο γίνονται 20, καὶ ἀφοῦ προσλάβωσι τὰς 17 δεκάδας γίνονται 37 μὲ τὴν σχετικὴν ἀναλογίαν· ἀφοῦ δὲ διαιρεθῇ ὁ 37 διὰ τοῦ 4 δίδει 9 καὶ ὑπόλοιπον 1, ὥστε νὰ εἶναι μυριάδες ἐνναπλαῖ 10, τὰ ἐκ τῶν ἑκατοντάδων 10 καὶ δεκάδων17].

Ἐπειδὴ δὲ οἱ πυθμένες τῶν ἀριθμῶν τῶν διαιρουμένων διὰ 100 καὶ τῶν διαιρουμένων διὰ 10 εἶναι οἱ κάτωθι 27

1, 3, 2, 3, 1, 3, 2, 6, 4, 1 (οἱ διὰ 100 εἶναι 10), καὶ
4, 1, 7, 2, 3, 1, 2, 7, 6, 7, 7, 5, 5, 5, 2, 7, 1 (οἱ διὰ 10 εἶναι

ἀλλὰ καὶ τῶν ἐλασσόνων δεκάδος εἰσὶν ια′, τουτέστιν ἀριθμοὶ οἱ

α′ ε′ δ′ ε′ ε′ α′ ε′ ε′ ε′ α′ α′,

ἐὰν τὸν ἐκ τούτων τῶν ια′ καὶ τὸν ἐκ τῶν κζ′ πυθμένων στερεὸν δι' ἀλλήλων πολλαπλασιάσωμεν, ἔσται ὁ στερεὸς μυριάδων τετραπλῶν ιθ′ καὶ τριπλῶν ,ςλς′ καὶ διπλῶν ,ηυπ′.

[Ἴσος δὲ τούτῳ συνάγεται καὶ ὁ διὰ τῶν τοῦ στίχου πυθμένων ἅμα ταῖς μονάσιν

Ἀρτέμιδος κλεῖτε κράτος ἔξοχον ἐννέα κοῦραι,

οἵ εἰσιν α′ α′ γ′ ε′ δ′ α′ δ′ ζ′ β′ β′ γ′ ε′ α′ γ′ ε′ β′ α′ α′ γ′ ζ′ β′ ε′ ς′ ζ′ ς′ ζ′ ε′ ε′ ε′ ε′ ε′ α′ β′ ζ′ δ′ α′ α′ α′.

ἓν γὰρ ἐπὶ α′ γίνεται α′
ἐπὶ γ′ γίνεται γ′
ἐπὶ ε′ γίνεται ιε′
ἐπὶ δ′ γίνεται ξ′
ἐπὶ α′ γίνεται ξ′
ἐπὶ δ′ γίνεται σμ′
ἐπὶ ζ′ γίνεται ,αχπ′
ἐπὶ β′ γίνεται ,γτξ′
ἐπὶ β′ γίνεται ,ςψκ′
ἐπὶ γ′ γίνεται μ^{α} β′ καὶ μ^{o} ρξ′
ἐπὶ ε′ γίνεται μ^{α} ι′ καὶ μ^{o} ω′
ἐπὶ α′ γίνεται μ^{α} ι′ καὶ μ^{o} ω′
ἐπὶ γ′ γίνεται μ^{α} λ′ καὶ μ^{o} ,βυ′
ἐπὶ ε′ γίνεται μ^{α} ρνα′ καὶ μ^{o} ,β
ἐπὶ β′ γίνεται μ^{α} τβ′ καὶ μ^{o} ,δ
ἐπὶ α′ γίνεται μ^{α} τβ′ καὶ μ^{o} ,δ
ἐπὶ α′ γίνεται μ^{α} τβ′ καὶ μ^{o} ,δ
ἐπὶ γ′ γίνεται μ^{α} ϡζ′ καὶ μ^{o} ,β
ἐπὶ ζ′ γίνεται μ^{α} ,ςτν′ καὶ μ^{o} ,δ
ἐπὶ β′ γίνεται μ^{β} α′ καὶ μ^{α} ,βψ′ καὶ μ^{o} ,η
ἐπὶ ε′ γίνεται μ^{β} ς′ καὶ μ^{α} ,γφδ′
ἐπὶ ς′ γίνεται μ^{β} λη′ καὶ μ^{α} ,ακδ′

17) ἀλλὰ καὶ οἱ μικρότεροι τοῦ δέκα εἶναι 11, τουτέστιν

1, 5, 4, 5, 5, 1, 5, 5, 5, 1, 1

ἐὰν σχηματίσωμεν τὸ γινόμενον τῶν 11 μονοψηφίων ἐπὶ τὸ γινόμενον τῶν 27 πυθμένων θὰ εἶναι τὸ τελικὸν γινόμενον τετραπλαῖ μυριάδες 19 καὶ τριπλαῖ 6036 καὶ διπλαῖ 8480, ἤτοι $19 \cdot 10000^4 + 6036 \cdot 10000^3 + 8480 \cdot 10000^2$.

["Ισον δὲ πρὸς τοῦτο συνάγεται καὶ ἂν γίνωσιν οἱ πολλαπλασιασμοὶ τῶν πυθμένων ἐπὶ τὰς μονάδας, τῶν ἀριθμῶν τοῦ στίχου

Ἀρτέμιδος κλεῖτε κράτος ἔξοχον ἐννέα κοῦραι,

οἱ ὁποῖοι εἶναι : 1, 1, 3, 5, 4, 1 ,4, 7, 2, 2, 3, 5, 1, 3, 5, 2, 1, 1, 3, 7, 2, 5, 6, 7, 6, 7, 5, 5, 5, 5, 5, 1, 2, 7, 4, 1, 1, 1.

	μ^δ= μυριάδες τετραπλαῖ $=10000^4$	μ^γ= μυριάδες τριπλαῖ $=10000^3$	μ^β= μυριάδες διπλαῖ $=10000^2$	μ^α= μυριάδες ἁπλαῖ $=10000^1$	μ^0= μονάδες
διότι 1 ·1 =					1
1 ·3 =					3
3 ·5 =					15
·4 =					60
·4 =					240
·7 =					1680
·2 =					3360
·2 =					6720
·3 =				2	0160
·5 =				10	0800
·3 =				30	2400
·5 =				151	2000
·2 =				302	4000
·3 =				907	2000
·7 =				6350	4000
·2 =			1	2700	8000
·5 =			6	3504	0000
·6 =			38	1024	0000

ἐπὶ ζ′ γίνεται μ$^{\beta}$ *σξς′ καὶ μ*$^{\alpha}$ *͵ζρξη′*
ἐπὶ ς′ γίνεται μ$^{\beta}$ *͵αχ′ καὶ μ*$^{\alpha}$ *͵γη′*
ἐπὶ ζ′ γίνεται μ$^{\gamma}$ *α′ καὶ μ*$^{\beta}$ *͵ασβ′ καὶ μ*$^{\alpha}$ *͵ανς′*
ἐπὶ ε′ γίνεται μ$^{\gamma}$ *ε′ καὶ μ*$^{\beta}$ *͵ςι′ καὶ μ*$^{\alpha}$ *͵εσπ′*
ἐπὶ ε′ γίνεται μ$^{\gamma}$ *κη′ καὶ μ*$^{\beta}$ *νβ′ καὶ μ*$^{\alpha}$ *͵ςυ′*
ἐπὶ ε′ γίνεται μ$^{\gamma}$ *ρμ′ καὶ μ*$^{\beta}$ *σξγ′ καὶ μ*$^{\alpha}$ *͵β*
ἐπὶ ε′ γίνεται μ$^{\gamma}$ *ψ′ καὶ μ*$^{\beta}$ *͵ατις′*
ἐπὶ ε′ γίνεται μ$^{\gamma}$ *͵γφ′ καὶ μ*$^{\beta}$ *͵ςφπ′*
ἐπὶ α′ γίνεται μ$^{\gamma}$ *͵γφ′ καὶ μ*$^{\beta}$ *͵ςφπ′*
ἐπὶ β′ γίνεται μ$^{\gamma}$ *͵ζα′ καὶ μ*$^{\beta}$ *͵γρξ′*
ἐπὶ ζ′ γίνεται μ$^{\delta}$ *δ′ καὶ μ*$^{\gamma}$ *͵θθ′ καὶ μ*$^{\beta}$ *͵βρκ′*
ἐπὶ δ′ γίνεται μ$^{\delta}$ *ιθ′ καὶ μ*$^{\gamma}$ *͵ςλς′ καὶ μ*$^{\beta}$ *͵ηυπ′.]*

*Αὗται δὴ συμπολλαπλασιαζόμεναι ἐπὶ τὸν ἐκ τῶν ἑκατοντάδων καὶ δεκάδων στερεόν, τουτέστι τὰς προκειμένας μυριάδας ἐνναπλᾶς δέκα, ποιοῦσιν μυριάδας τρισκαιδεκαπλᾶς ρϟς′, δωδεκαπλᾶς τξη′, ἑνδεκαπλᾶς ͵δω′. [ἐνναπλαῖ γὰρ μυριάδες ἐπὶ μὲν τετραπλᾶς ποιοῦσι τρισκαιδεκαπλᾶς, ἐπὶ δὲ τριπλᾶς γενόμεναι ποιοῦσιν δωδεκαπλᾶς, καὶ ὁμοίως ἐπὶ διπλᾶς πολλαπλασιασθεῖσαι γίνονται ἑνδεκαπλαῖ ***] ταῦτα γὰρ πάντα προδέδεικται.*

Φατέον οὖν τὸν ἐξ ἀρχῆς στίχον

᾿Αρτέμιδος κλεῖτε κράτος ἔξοχον ἐννέα κοῦραι

πολλαπλασιασθέντα δι᾽ ἀλλήλων δύνασθαι μυριάδων πλῆθος τρισκαιδεκαπλῶν ρϟς′, δωδεκαπλῶν τξη′, ἑνδεκαπλῶν ͵δω′, συμφώνως τοῖς ὑπὸ ᾿Απολλωνίου κατὰ τὴν μέθοδον ἐν ἀρχῇ τοῦ βιβλίου προγεγραμμένοις.

·7 =			266	7168	0000	
·6 =			1600	3008	0000	
·7 =		1	1202	1056	0000	
·5 =		5	6010	5280	0000	
·5 =		28	0052	6400	0000	
·5 =		140	0263	2000	0000	
·5 =		700	1316	0000	0000	
·5 =		3500	6580	0000	0000	
·2 =		7001	3160	0000	0000	
·7 =	4	9009	2120	0000	0000	
·4 =	19	6036	8480	0000	0000]	

Αὗται λοιπὸν (αἱ μονάδες) πολλαπλασιαζόμεναι ἐπὶ τὸ γινόμενον τῶν ἑκατοντάδων ἐπὶ τὰς δεκάδας, δηλαδὴ τὰς εὑρεθείσας ἐνναπλᾶς δέκα μυριάδας ($=10\cdot10000^9$) σχηματίζουσι 196 μυριάδας τρισκαιδεκαπλᾶς ($=196\cdot10000^{13}$), 368 μυριάδας δωδεκαπλᾶς ($=368\cdot10000^{12}$), 4800 ἑνδεκαπλᾶς ($=4800\cdot10000^{11}$), [διότι ἐνναπλαῖ μυριάδες ἐπὶ τὰς τετραπλᾶς δίδουσι τρισκαιδεκαπλᾶς*) (δηλαδὴ $10000^9 \cdot 10000^4 = 10000^{13}$), ἐπὶ δὲ τὰς τριπλᾶς δίδουσι δωδεκαπλᾶς (δηλ. $10000^9 \cdot 10000^3 = 10000^{12}$) καὶ ὁμοίως ἐπὶ διπλᾶς πολλαπλασιασθεῖσαι γίνονται ἑνδεκαπλαῖ (δηλ. $10000^9 \cdot 10000^2 = 10000^{11}$). . .] Διότι αὐτὰ ὅλα ἔχουσι προαποδειχθῆ.

Ἂς γράψωμεν λοιπὸν πάλιν τὸν ἀρχικὸν στίχον

Τῆς Ἀρτέμιδος τὸ ἔξοχον κράτος ὑμνήσατε ἐννέα κόραι.

Ἐὰν οἱ ἀριθμοὶ οἱ παριστώμενοι ὑπὸ τῶν γραμμάτων πολλαπλασιασθῶσι μεταξύ των δίδουσι $196\cdot10000^{13} + 368 \cdot 10000^{12} + 4800 \cdot 10000^{11}$, συμφώνως πρὸς τὰ ὑπὸ τοῦ Ἀπολλωνίου κατὰ τὴν μέθοδον τὴν προγεγραμμένην εἰς τὴν ἀρχὴν τοῦ βιβλίου (ἀπολεσθεῖσαν).

*) Ἐκ τούτου φαίνεται ὅτι εἶναι γνωστὸν τὸ θεώρημα: γινόμενον δυνάμεων τοῦ αὐτοῦ ἀριθμοῦ εἶναι δύναμις τοῦ αὐτοῦ ἀριθμοῦ ἔχουσα ἐκθέτην τὸ ἄθροισμα τῶν ἐκθετῶν.

ΑΠΟΛΛΩΝΙΟΣ

De duabus mediis proportionalibus

16. — — III, 20 p. 57, 7 - 56, 8 :

Τῶν ἐν γεωμετρίᾳ προβλημάτων οἱ παλαιοὶ τρία γένη φασὶν εἶναι, καὶ τὰ μὲν αὐτῶν ἐπίπεδα καλεῖσθαι, τὰ δὲ στερεά, τὰ δὲ γραμμικά. τὰ μὲν οὖν δι' εὐθείας καὶ κύκλου περιφερείας δυνάμενα λύεσθαι λέγοιτο ἂν εἰκότως ἐπίπεδα· καὶ γὰρ αἱ γραμμαὶ δι' ὧν λύεται τὰ τοιαῦτα προβλήματα τὴν γένεσιν ἔχουσιν ἐν ἐπιπέδῳ. ὅσα δὲ προβλήματα λύεται παραλαμβανομένης εἰς τὴν εὕρεσιν μιᾶς τῶν τοῦ κώνου τομῶν ἢ πλειόνων, ταῦτα στερεὰ κέκληται· πρὸς γὰρ τὴν κατασκευὴν ἀναγκαῖόν ἐστι χρήσασθαι στερεῶν σχημάτων ἐπιφανείας, λέγω δὲ ταῖς κωνικαῖς. τρίτον δ' ἔτι καταλείπεται γένος ὃ καλεῖται γραμμικόν· γραμμαὶ γὰρ ἕτεραι παρὰ τὰς εἰρημένας εἰς τὴν κατασκευὴν λαμβάνονται ποικιλωτέραν καὶ βεβιασμένην ἔχουσαι τὴν γένεσιν, ὁποῖαι τυγχάνουσιν αἱ ἕλικες καὶ τετραγωνίζουσαι καὶ κοχλοειδεῖς καὶ κισσοειδεῖς, πολλὰ καὶ παράδοξα περὶ αὐτὰς ἔχουσαι συμπτώματα. τοιαύτης δὴ τῆς διαφορᾶς τῶν προβλημάτων οὔσης οἱ παλαιοὶ γεωμέτραι τὸ προειρημένον ἐπὶ τῶν δύο εὐθειῶν πρόβλημα τῇ φύσει στερεὸν ὑπάρχον οὐχ οἷοί τ' ἦσαν κατασκευάζειν τῷ γεωμετρικῷ λόγῳ κατακολουθοῦντες, ἐπεὶ μηδὲ τὰς τοῦ κώνου τομὰς ῥᾴδιον ἐν ἐπιπέδῳ γράφειν ἦν [ὡς δεῖ δύο δοθεισῶν εὐθειῶν ἀνίσων δύο μέσας ἀνάλογον λαβεῖν ἐν συνεχεῖ ἀναλογίᾳ], τοῖς δὲ ὀργάνοις μεταλαβόντες αὐτὸ θαυμασίως εἰς χειρουργίαν καὶ κατασκευὴν ἐπιτήδειον ἤγαγον, ὡς ἔστιν ἰδεῖν [ἀπὸ τῶν φερομένων αὐτοῖς συνταγμάτων, λέγω δ'] ἐν τῷ Ἐρατοσθένους μεσολάβῳ καὶ τοῖς Φίλωνος καὶ Ἥρωνος μηχανικοῖς [ἢ κατα-

ΜΑΡΤΥΡΙΑΙ

16. — — Περὶ τῶν δύο μέσων ἀναλόγων:

Οἱ παλαιοὶ λέγουσιν, ὅτι τὰ προβλήματα τῆς γεωμετρίας εἶναι τριῶν εἰδῶν, καὶ ὅτι ἄλλα μὲν ὀνομάζονται ἐπίπεδα, ἄλλα δὲ στερεά, καὶ ἄλλα γραμμικά. Καὶ ὅσα μὲν εἶναι δυνατὸν νὰ λύωνται δι' εὐθείας καὶ κύκλου περιφερείας εὐλόγως λέγονται ἐπίπεδα προβλήματα· διότι αἱ γραμμαὶ διὰ τῶν ὁποίων λύονται τὰ προβλήματα αὐτὰ ἔχουσι τὴν γένεσιν εἰς τὸ ἐπίπεδον. Ὅσα δὲ προβλήματα λύονται χρησιμοποιουμένης διὰ τὴν λύσιν αὐτῶν μιᾶς ἢ περισσοτέρων κωνικῶν τομῶν, αὐτὰ ὀνομάζονται στερεὰ προβλήματα· διότι διὰ τὴν συναφῆ κατασκευὴν εἶναι ἀναγκαῖον νὰ χρησιμοποιῶνται ἐπιφάνειαι στερεῶν σχημάτων, δηλ. κωνικαί. Ὑπολείπεται δὲ τὸ τρίτον εἶδος τῶν προβλημάτων, τὸ ὁποῖον καλεῖται γραμμικόν· διότι διὰ τὴν κατασκευὴν αὐτῶν λαμβάνονται ἄλλαι γραμμαί, ἐκτὸς ἐκείνων, αἱ ὁποῖαι ἀνεφέρθησαν ἀνωτέρω, αἵτινες ἔχουσι γένεσιν ποικιλωτέραν καὶ τεχνητήν, ὅπως εἶναι αἱ ἕλικες, καὶ αἱ τετραγωνίζουσαι καὶ αἱ κοχλιοειδεῖς (=κογχοειδεῖς Νικομήδους) καὶ αἱ κισσοειδεῖς (Διοκλέους. Ἰδὲ Ε. Σταμάτη, Τὸ δήλιον πρόβλημα καὶ ἡ τριχοτόμησις γωνίας, Ἀθῆναι 1949), αἱ ὁποῖαι ἔχουσι πολλὰς καὶ παραδόξους ἰδιότητας. Ἐνῷ λοιπὸν ὑπάρχει ἡ τοιαύτη διαφορὰ τῶν προβλημάτων, οἱ παλαιοὶ γεωμέτραι, τὸ ἀνωτέρω πρόβλημα τῶν δύο μέσων ἀναλόγων, τὸ ὁποῖον ἐκ φύσεως εἶναι στερεόν, δὲν ἠδύναντο νὰ τὸ κατασκευάζωσι, συμφώνως πρὸς τὰς γεωμετρικὰς ἀπαιτήσεις, ἐπειδὴ δὲν ἦτο εὔκολον νὰ κατασκευάζωσιν εἰς τὸ ἐπίπεδον τὰς κωνικὰς τομὰς [πῶς πρέπει ὅταν δοθῶσι δύο ἄνισοι εὐθεῖαι νὰ εὑρεθῶσι δύο μέσαι ἀνάλογοι, εἰς συνεχῆ ἀναλογίαν], ὡδήγησαν δὲ διὰ τῶν καταλλήλων συσκευῶν εἰς θαυμασίαν λύσιν τοῦ προβλήματος, ὅπως φαίνεται [ἐκ τῶν φερομένων κατασκευῶν αὐτῶν, λέγω δὲ] ὅπως τὸ μεσόλαβον τοῦ Ἐρατοσθένους, καὶ τὰς μηχανικὰς συσκευὰς τοῦ Φίλωνος καὶ τοῦ Ἥρωνος. Διότι αὐτοὶ παραδεχόμενοι, ὅτι τὸ πρόβλημα *παλτικοῖς]. οὗτοι γὰρ ὁμολογοῦντες στερεὸν εἶναι τὸ πρόβλημα τὴν κατασκευὴν αὐτοῦ μόνον ὀργανικῶς πεποίηνται [συμφώνως Ἀπολλωνίῳ τῷ Περγαίῳ, ὃς καὶ τὴν ἀνάλυσιν αὐτοῦ πεποίηται διὰ τῶν τοῦ κώνου τομῶν, καὶ ἄλλοι διὰ τῶν Ἀρισταίου τόπων στερεῶν, οὐδεὶς δὲ διὰ τῶν ἰδίως ἐπιπέδων καλουμένων], Νικομήδης δὲ λέλυκε διὰ κοχλοειδοῦς γραμμῆς, δι᾽ ἧς καὶ τὴν γωνίαν ἐτριχοτόμησεν.*

17. — — *IV, 57 p. 270, 1 - 272, 7 :*

λς΄. Τὴν δοθεῖσαν γωνίαν εὐθύγραμμον εἰς τρία ἴσα τεμεῖν οἱ παλαιοὶ γεωμέτραι θελήσαντες ἠπόρησαν δι᾽ αἰτίαν τοιαύτην. τρία γένη φαμὲν εἶναι τῶν ἐν γεωμετρίᾳ προβλημάτων, καὶ τὰ μὲν αὐτῶν ἐπίπεδα καλεῖσθαι, τὰ δὲ στερεά, τὰ δὲ γραμμικά. τὰ μὲν οὖν δι᾽ εὐθείας καὶ κύκλου περιφερείας δυνάμενα λύεσθαι λέγοιτ᾽ ἂν εἰκότως ἐπίπεδα· καὶ γὰρ αἱ γραμμαὶ δι᾽ ὧν εὑρίσκεται τὰ τοιαῦτα προβλήματα τὴν γένεσιν ἔχουσιν ἐν ἐπιπέδῳ. ὅσα δὲ λύεται προβλήματα παραλαμβανομένης εἰς τὴν εὕρεσιν μιᾶς τῶν τοῦ κώνου τομῶν ἢ καὶ πλειόνων, στερεὰ ταῦτα κέκληται· πρὸς γὰρ τὴν κατασκευὴν χρήσασθαι στερεῶν σχημάτων ἐπιφανείας, λέγω δὲ ταῖς κωνικαῖς, ἀναγκαῖον. τρίτον δέ τι προβλημάτων ὑπολείπεται γένος τὸ καλούμενον γραμμικόν· γραμμαὶ γὰρ ἕτεραι παρὰ τὰς εἰρημένας εἰς τὴν κατασκευὴν λαμβάνονται ποικιλωτέραν ἔχουσαι τὴν γένεσιν καὶ βεβιασμένην μᾶλλον, ἐξ ἀτακτοτέρων ἐπιφανειῶν καὶ κινήσεων ἐπιπεπλεγμένων γεννώμεναι. τοιαῦται δέ εἰσιν αἵ τε ἐν τοῖς πρὸς ἐπιφανείαις καλουμένοις τόποις εὑρισκόμεναι γραμμαὶ ἕτεραί τε τούτων ποικιλώτεραι καὶ πολλαὶ τὸ πλῆθος ὑπὸ Δημητρίου τοῦ Ἀλεξανδρέως ἐν ταῖς γραμμικαῖς ἐπιστάσεσι εἶναι στερεὸν ἔκαμαν τὴν κατασκευὴν μόνον δι' ὀργάνων [συμφώνως πρὸς τὸν 'Απολλώνιον τὸν Περγαῖον, ὁ ὁποῖος ἔκαμε τὴν ἀνάλυσιν αὐτοῦ διὰ τῶν κωνικῶν τομῶν, καὶ ἄλλοι διὰ τῶν στερεῶν τόπων τοῦ 'Αρισταίου, κανεὶς δὲ δὲν ἐπεχείρησε λύσιν διὰ τῶν καλουμένων ἐπιπέδων ἰδίως γεωμετρικῶν τόπων], ὁ δὲ Νικομήδης ἔλυσε τὸ πρόβλημα διὰ τῆς κοχλοειδοῦς (=κογχοειδοῦς) γραμμῆς, διὰ τῆς ὁποίας ἐτριχοτόμησε καὶ τὴν (ὀξεῖαν) γωνίαν.

17. — — :

36. Οἱ παλαιοὶ γεωμέτραι θελήσαντες νὰ τριχοτομήσωσι τὴν εὐθύγραμμον (ὀξεῖαν) γωνίαν εὑρέθησαν εἰς ἀπορίαν διὰ τὸν ἑξῆς λόγον. 'Ανεφέρομεν, ὅτι τὰ γεωμετρικὰ προβλήματα εἶναι τριῶν εἰδῶν, καὶ ὅτι ἄλλα μὲν καλοῦνται ἐπίπεδα, ἄλλα στερεὰ καὶ ἄλλα γραμμικά. Τὰ προβλήματα λοιπὸν τὰ δυνάμενα νὰ λυθῶσι δι' εὐθείας καὶ κύκλου περιφερείας εὐλόγως λέγονται ἐπίπεδα· διότι αἱ γραμμαὶ δι' ὧν λύονται τὰ τοιαῦτα προβλήματα, ἔχουσι τὴν γένεσιν εἰς τὸ ἐπίπεδον. Ὅσα δὲ προβλήματα λύονται μὲ τὴν βοήθειαν μιᾶς τῶν κωνικῶν τομῶν ἢ καὶ περισσοτέρων, αὐτὰ ὀνομάζονται στερεά· διότι εἶναι ἀναγκαῖον νὰ χρησιμοποιῶνται διὰ τὴν κατασκευὴν αὐτῶν ἐπιφάνειαι στερεῶν, λέγω δὲ ἐπιφάνειαι κωνικαί. Ὑπολείπεται δὲ τρίτον γένος τῶν προβλημάτων, τὸ ὁποῖον λέγεται γραμμικόν· διότι χρησιμοποιοῦνται ἄλλου εἴδους γραμμαί, ἐκτὸς τῶν εἰρημένων, αἱ ὁποῖαι ἔχουσι τὴν γένεσιν ποικιλωτέραν καὶ μᾶλλον τεχνητήν, γεννώμεναι ἐξ ἀτακτοτέρων ἐπιφανειῶν καὶ ἐπιπεπλεγμένων κινήσεων. Τοιαῦται δὲ γραμμαὶ εἶναι, αἱ ἀναφερόμεναι γραμμαὶ εἰς τοὺς γεωμετρικοὺς τόπους ἐπιφανειῶν, καὶ ἄλλαι ποικιλώτεραι αὐτῶν, καὶ πολλαὶ ἔχουσιν εὑρεθῆ ὑπὸ τοῦ Δημητρίου τοῦ 'Αλεξανδρέως,

καὶ Φίλωνος τοῦ Τυανέως ἐξ ἐπιπλοκῆς πλεκτοειδῶν τε καὶ ἑτέρων παντοίων ἐπιφανειῶν εὑρισκόμεναι πολλὰ καὶ θαυμαστὰ συμπτώματα περὶ αὐτὰς ἔχουσαι. καί τινες αὐτῶν ὑπὸ τῶν νεωτέρων ἠξιώθησαν λόγου πλείονος, μία δέ τις ἐξ αὐτῶν ἐστιν ἡ καὶ παράδοξος ὑπὸ τοῦ Μενελάου κληθεῖσα γραμμή. τοῦ δὲ αὐτοῦ γένους ἕτεραι ἑλικές εἰσιν τετραγωνίζουσαί τε καὶ κοχλοειδεῖς καὶ κισσοειδεῖς. δοκεῖ δέ πως ἁμάρτημα τὸ τοιοῦτον οὐ μικρὸν εἶναι τοῖς γεωμέτραις, ὅταν ἐπίπεδον πρόβλημα διὰ τῶν κωνικῶν ἢ τῶν γραμμικῶν ὑπό τινος εὑρίσκηται, καὶ τὸ σύνολον ὅταν ἐξ ἀνοικείου λύηται γένους, οἷόν ἐστιν τὸ ἐν τῷ πέμπτῳ τῶν Ἀπολλωνίου κωνικῶν ἐπὶ τῆς παραβολῆς πρόβλημα καὶ ἡ ἐν τῷ περὶ τῆς ἕλικος ὑπὸ Ἀρχιμήδους λαμβανομένη στερεοῦ νεῦσις ἐπὶ κύκλον· μηδενὶ γὰρ προσχρώμενον στερεῷ δυνατὸν εὑρεῖν τὸ ὑπ' αὐτοῦ γραφόμενον θεώρημα, λέγω δὴ τὸ τὴν περιφέρειαν τοῦ ἐν τῇ πρώτῃ περιφορᾷ κύκλου ἴσην ἀποδεῖξαι τῇ πρὸς ὀρθὰς ἀγομένῃ εὐθείᾳ τῇ ἐκ τῆς γενέσεως ἕως τῆς ἐφαπτομένης τῆς ἕλικος [1].

Π ά π π ο υ Ἀ λ ε ξ α ν δ ρ έ ω ς Σ υ ν α γ ω γ ῆ ς ζ'
18. VII, 1 p. 634, 1 - 11 :

Ὁ καλούμενος ἀναλυόμενος, Ἑρμόδωρε τέκνον, κατὰ σύλληψιν ἰδία τίς ἐστιν ὕλη παρεσκευασμένη μετὰ τὴν τῶν κοινῶν στοιχείων ποίησιν τοῖς βουλομένοις ἀναλαμβάνειν ἐν

1) Ἡ μὲν παρατήρησις διὰ τὸν Ἀρχιμήδη δὲν εἶναι ὀρθή· διὰ δὲ τὸν Ἀπολλώνιον δὲν ἀναφέρεται τὸ ὑπονοούμενον θεώρημα τοῦ πέμπτου βιβλίου τῶν Κωνικῶν, καίτοι εἰς τὸ πέμπτον βιβλίον τῶν Κωνικῶν δὲν παρατηρεῖται ἀνωμαλία τις. Πι-

εἰς τὰς γραμμικὰς ἐπιστάσεις, καὶ τοῦ Φίλωνος τοῦ Τυανέως, ἐξ ἐπιπλοκῆς πλεκτοειδῶν καὶ ἄλλων ποικίλων ἐπιφανειῶν ἔχουσαι πολλὰς καὶ θαυμαστὰς ἰδιότητας. Καὶ μερικαὶ ἐξ αὐτῶν ἔτυχον λεπτομερεστέρας ἐξετάσεως ὑπὸ τῶν νεωτέρων, μία δὲ ἐξ αὐτῶν εἶναι καὶ ἡ κληθεῖσα ὑπὸ τοῦ Μενελάου παράδοξος γραμμή. Τοῦ αὐτοῦ δὲ γένους εἶναι καὶ αἱ τετραγωνίζουσαι καὶ αἱ κοχλοειδεῖς καὶ αἱ κισσοειδεῖς. Φαίνεται δὲ ὅτι δὲν εἶναι μικρὸν σφάλμα διὰ τοὺς γεωμέτρας, ὅταν ἐπίπεδον πρόβλημα λύηται ὑπό τινος διὰ τῶν κωνικῶν ἢ τῶν γραμμικῶν, καὶ τὸ σύνολον, ὅταν λύηται ἐξ ἀναρμοδίου εἴδους γραμμῶν, ὅπως εἶναι π. χ. τὸ εἰς τὸ πέμπτον βιβλίον τῶν Κωνικῶν τοῦ Ἀπολλωνίου πρόβλημα ἐπὶ τῆς παραβολῆς καὶ ἡ ὑπὸ τοῦ Ἀρχιμήδους, εἰς τὴν πραγματείαν του Περὶ ἑλίκων (θ. 18) λαμβανομένη στερεοῦ νεῦσις εἰς τὸν κύκλον. διότι οὐδεὶς χρησιμοποιῶν στερεὸν (τόπον) εἶναι δυνατὸν νὰ εὕρῃ τὸ ὑπ' αὐτοῦ ἀποδεικνυόμενον θεώρημα, ἐννοῶ δηλ. τὸ ν' ἀποδείξῃ, ὅτι ἡ περιφέρεια τοῦ κύκλου τῆς πρώτης περιφορᾶς (τῆς γεννώσης τὴν ἕλικα εὐθείας) εἶναι ἴση πρὸς τὴν κάθετον τὴν ἀγομένην ἐπὶ τὴν ἀρχὴν (νοουμένην ἀκίνητον) τῆς περιφερομένης εὐθείας μέχρι τῆς συναντήσεως αὐτῆς μετὰ τῆς ἐφαπτομένης τῆς ἕλικος.

18. Πάππου Ἀλεξανδρέως Συναγωγῆς βιβλ. 7.

Περιέχει δὲ λήμματα τοῦ ἀναλυομένου γεωμετρικοῦ τόπου: Ὁ καλούμενος ἀναλυτικὸς γεωμετρικὸς τόπος, Ἑρμόδωρε παιδί μου, εἶναι ὡς πρὸς τὴν σύλληψιν ἰδιαιτέρα τις ὕλη παρεσκευασμένη μετὰ τὴν ποίησιν τῶν κοινῶν στοιχείων εἰς τοὺς ἐπιθυ-

---

θανὸν τὸ χειρόγραφον νὰ ἔχῃ ἔλλειψίν τινα. Κατὰ τὸν F. Hultsch, πιθανὸν ὁ Πάππος νὰ ἐννοῇ τὸ 52 πρόβλημα τοῦ α' βιβλίου τῶν Κωνικῶν, ὅπου ὑπάρχει κατασκευὴ παραβολῆς, ὄχι ἐσφαλμένη). (Πάππος, ἔκδ. F. Hultsch, Βερολῖνον 1876, σελ. 273, ὑποσημ.5)].

γραμμαῖς δύναμιν εὑρετικὴν τῶν προτεινομένων αὐτοῖς προβλημάτων, καὶ εἰς τοῦτο μόνον χρησίμη καθεστῶσα. γέγραπται δὲ ὑπὸ τριῶν ἀνδρῶν. Εὐκλείδου τε τοῦ στοιχειωτοῦ καὶ Ἀπολλωνίου τοῦ Περγαίου καὶ Ἀρισταίου τοῦ πρεσβυτέρου, κατὰ ἀνάλυσιν καὶ σύνθεσιν ἔχουσα τὴν ἔφοδον.

19. — — VII, 3 p. 636, 18 - 30 :

Τῶν δὲ προειρημένων τοῦ ἀναλυομένου βιβλίων ἡ τάξις ἐστὶν τοιαύτη· Εὐκλείδου δεδομένων βιβλίον α′, Ἀπολλωνίου λόγου ἀποτομῆς β′, χωρίου ἀποτομῆς β′, διωρισμένης τομῆς δύο, ἐπαφῶν δύο, Εὐκλείδου πορισμάτων τρία, Ἀπολλωνίου νεύσεων δύο, τοῦ αὐτοῦ τόπων ἐπιπέδων δύο, κωνικῶν η′, Ἀρισταίου τόπων στερεῶν πέντε, Εὐκλείδου τόπων τῶν πρὸς ἐπιφανείᾳ δύο, Ἐρατοσθένους περὶ μεσοτήτων δύο. γίνεται βιβλία λγ′, ὧν τὰς περιοχὰς μέχρι τῶν Ἀπολλωνίου κωνικῶν ἐξεθέμην σοι πρὸς ἐπίσκεψιν, καὶ τὸ πλῆθος τῶν τόπων καὶ τῶν διορισμῶν καὶ τῶν πτώσεων καθ᾽ ἕκαστον βιβλίον, ἀλλὰ καὶ τὰ λήμματα τὰ ζητούμενα, καὶ οὐδεμίαν ἐν τῇ πραγματείᾳ τῶν βιβλίων καταλέλοιπα ζήτησιν, ὡς ἐνόμιζον.

De sectionis rationis

20. — — VII, 5 p. 640, 4 - 25 :

Τῆς δ᾽ ἀποτομῆς τοῦ λόγου βιβλίων ὄντων β′ πρότασίς ἐστιν μία ὑποδιῃρημένη· διὸ καὶ μίαν πρότασιν οὕτως γράφω·

μοῦντας νὰ ἀναλαμβάνωσιν διὰ τῶν γραμμῶν δύναμιν εὑρετικὴν τῶν προτεινομένων εἰς αὐτοὺς προβλημάτων, καὶ εἰς τοῦτο καθισταμένη χρήσιμος. Ἔχει δὲ γραφῆ ὑπὸ τριῶν ἀνδρῶν, καὶ τοῦ Εὐκλείδου τοῦ στοιχειωτοῦ καὶ τοῦ Ἀπολλωνίου τοῦ Περγαίου, καὶ τοῦ Ἀρισταίου τοῦ πρεσβυτέρου, χρησιμοποιοῦσα (ἡ τοιαύτη ὕλη) τὴν μέθοδον τῆς ἀναλύσεως καὶ τῆς συνθέσεως.

19. — — :

Τῶν προλεχθέντων δὲ τοῦ ἀναλυομένου γεωμετρικοῦ τόπου βιβλίων ἡ τάξις εἶναι ἡ ἀκόλουθος· Εὐκλείδου Δεδομένα βιβλίον 1, Ἀπολλωνίου Περὶ λόγου ἀποτομῆς βιβλία 2, Περὶ χωρίου ἀποτομῆς βιβλία 2, Περὶ διωρισμένης τομῆς βιβλία 2, Περὶ ἐπαφῶν βιβλία 2, Εὐκλείδου Περὶ πορισμάτων βιβλία 3, Ἀπολλωνίου Περὶ νεύσεων βιβλία 2, τοῦ αὐτοῦ (δηλ. Ἀπολλωνίου) Περὶ γεωμετρικῶν τόπων ἐπιπέδων βιβλία 2, Κωνικῶν βιβλία 8, Ἀρισταίου (τοῦ πρεσβυτέρου) Περὶ γεωμετρικῶν τόπων στερεῶν βιβλία 5, Εὐκλείδου Περὶ γεωμετρικῶν τόπων εἰς ἐπιφανείας βιβλία 2, Ἐρατοσθένους Περὶ μεσοτήτων βιβλία 2. Ἐν ὅλῳ βιβλία 33, τῶν ὁποίων τὸ περιεχόμενόν σοῦ ἐξέθεσα πρὸς σπουδὴν μέχρι τῶν Κωνικῶν τοῦ Ἀπολλωνίου, ὡς ἐπίσης (σοῦ ἐξέθεσα) καὶ τὸ πλῆθος τῶν γεωμετρικῶν τόπων καὶ τῶν διερευνήσεων καὶ τῶν περιπτώσεων ἑκάστου βιβλίου, ἀλλὰ καὶ τὰ ἀπαραίτητα λήμματα, καὶ δὲν παρέλειψα καμμίαν ἔρευναν εἰς τὸ σύγγραμμά μου, ὡς ἐνόμιζον.

Περὶ λόγου ἀποτομῆς

20. — — :

Ἐνῷ τῆς πραγματείας Περὶ λόγου ἀποτομῆς ὑπάρχουσι δύο βιβλία, ἡ πρὸς ἐξέτασιν πρότασις εἶναι μόνον μία ὑποδιῃρημένη, τὴν ὁποίαν ἐκθέτω ὡς κάτωθι·

διὰ τοῦ δοθέντος σημείου εὐθεῖαν γραμμὴν ἀγαγεῖν τέμνουσαν ἀπὸ τῶν τῇ θέσει δοθεισῶν δύο εὐθειῶν πρὸς τοῖς ἐπ' αὐτῶν δοθεῖσι σημείοις λόγον ἐχούσας τὸν αὐτὸν τῷ δοθέντι. τὰς δὲ γραφὰς διαφόρους γενέσθαι καὶ πλῆθος λαβεῖν συμβέβηκεν. ὑποδιαιρέσεως γενομένης, ἕνεκα τῆς τε πρὸς ἀλλήλας θέσεως τῶν δεδομένων εὐθειῶν καὶ τῶν διαφόρων πτώσεων τοῦ δεδομένου σημείου καὶ διὰ τὰς ἀναλύσεις καὶ συνθέσεις αὐτῶν τε καὶ τῶν διορισμῶν. ἔχει γὰρ τὸ μὲν πρῶτον βιβλίον τῶν λόγου ἀποτομῆς τόπους ζ', πτώσεις κδ', διορισμοὺς δὲ ε', ὧν τρεῖς μέν εἰσιν μέγιστοι, δύο δὲ ἐλάχιστοι· καὶ ἔστι μέγιστος μὲν κατὰ τὴν τρίτην πτῶσιν τοῦ ε' τόπου, ἐλάχιστος δὲ κατὰ τὴν δευτέραν τοῦ ς' τόπου καὶ κατὰ τὴν αὐτὴν τοῦ ζ' τόπου, μέγιστοι δὲ οἱ κατὰ τὰς τετάρτας τοῦ ς' καὶ τοῦ ζ' τόπου. τὸ δὲ δεύτερον βιβλίον λόγου ἀποτομῆς ἔχει τόπους ιδ', πτώσεις δὲ ξγ', διορισμοὺς δὲ τοὺς ἐκ τοῦ πρώτου· ἀπάγεται γὰρ ὅλον εἰς τὸ πρῶτον.

Λήμματα δὲ ἔχει τὰ λόγου ἀποτομῆς κ', αὐτὰ δὲ τὰ δύο βιβλία τῶν λόγου ἀποτομῆς θεωρημάτων ἐστὶν ρπα', κατὰ δὲ Περικλέα πλειόνων ἢ τοσούτων *).

De sectione spatii

21. — — *VII, 7 p. 640, 26 - 642, 18 :*

Τῆς δ' ἀποτομῆς τοῦ χωρίου βιβλία μέν ἐστιν δύο, πρόβλημα δὲ κἀν τούτοις ἕν, ὑποδιαιρούμενον δίς· καὶ τούτων μία πρότασίς ἐστιν τὰ μὲν ἄλλα ὁμοίως ἔχουσα τῇ προτέρᾳ,

[*) Σημ. : Τὸ βιβλίον ἐσώθη εἰς τὴν ἀραβικήν, ἀνευρεθὲν κατὰ τὸ τέλος τοῦ 17ου αἰ. ὑπὸ τοῦ Edw. Bernard, ὅστις μετέφρασε μικρὸν τμῆμα εἰς τὴν λατινικήν. Ἡ ὅλη μετάφρασις εἰς τὴν λατινικὴν ἐγένετο καὶ ἐξεδόθη ἐν Ἀγγλίᾳ ὑπὸ

ΜΑΡΤΥΡΙΑΙ

Ἐὰν ἄρα κῶνος τμηθῇ δι' ἐπιπέδου τινὸς διερχομένου διὰ τῆς κορυφῆς, ἡ τομὴ εἶναι τρίγωνον.

4

Ἐὰν οἱαδήποτε ἐκ τῶν κατὰ κορυφὴν ἐπιφανειῶν (τοῦ διπλοῦ κώνου) τμηθῇ δι' ἐπιπέδου τινὸς παραλλήλου πρὸς τὸν κύκλον, πρὸς τὸν ὁποῖον φέρεται ἡ γράφουσα τὴν ἐπιφάνειαν εὐθεῖα, τὸ μεταξὺ τῆς ἐπιφανείας ἐναπολαμβανόμενον ἐπίπεδον θὰ εἶναι κύκλος ἔχων τὸ κέντρον ἐπὶ τοῦ ἄξονος, τὸ δὲ περιεχόμενον σχῆμα ὑπὸ τοῦ κύκλου καὶ τῆς ἀπολαμβανομένης ὑπὸ τοῦ τέμνοντος ἐπιπέδου κωνικῆς ἐπιφανείας μέχρι τῆς κορυφῆς θὰ εἶναι κῶνος.





Ἔστω κωνικὴ ἐπιφάνεια, τῆς ὁποίας κορυφὴ μὲν εἶναι τὸ σημεῖον Α, ὁ δὲ κύκλος ἐπὶ τοῦ ὁποίου φέρεται ἡ τὴν ἐπιφάνειαν γράφουσα εὐθεῖα, ὁ ΒΓ, καὶ ἂς τμηθῇ αὕτη δι' ἐπιπέδου τινὸς παραλλήλου πρὸς τὸν κύκλον ΒΓ, καὶ ἂς σχηματίζῃ εἰς τὴν ἐπιφάνειαν τομὴν τὴν γραμμὴν ΔΕ. Λέγω, ὅτι ἡ γραμμὴ ΔΕ εἶναι κύκλος ἔχων τὸ κέντρον ἐπὶ τοῦ ἄξονος.

Διότι ἂς ληφθῇ τὸ κέντρον τοῦ κύκλου ΒΓ τὸ Ζ, καὶ ἂς ἀχθῇ ἡ ΑΖ. Εἶναι ἄρα αὕτη ἄξων καὶ συναντᾷ τὸ τέμνον ἐπίπεδον (ὁρισ. 1). Ἔστω, ὅτι τὸ συναντᾷ κατὰ τὸ Η καὶ ἂς ἀχθῇ διὰ τῆς ΑΖ τυχὸν ἐπίπεδον. Θὰ εἶναι λοιπὸν ἡ

ἐπεὶ τὰ Δ, Η, Ε σημεῖα ἐν τῷ τέμνοντί ἐστιν ἐπιπέδῳ, ἔστι
H16 δὲ καὶ ἐν τῷ τοῦ ΑΒΓ ἐπιπέδῳ, εὐθεῖα ἄρα ἐστὶν ἡ ΔΗΕ· εἰλήφθω δή τι σημεῖον ἐπὶ τῆς ΔΕ γραμμῆς τὸ Θ, καὶ ἐπιζευχθεῖσα ἡ ΑΘ ἐκβεβλήσθω. συμβαλεῖ δὴ τῇ ΒΓ περιφερείᾳ. συμβαλλέτω κατὰ τὸ Κ, καὶ ἐπεζεύχθωσαν αἱ ΗΘ, ΖΚ. καὶ ἐπεὶ δύο ἐπίπεδα παράλληλα τὰ ΔΕ, ΒΓ ὑπὸ ἐπιπέδου τινὸς τέμνεται τοῦ ΑΒΓ, αἱ κοιναὶ αὐτῶν τομαὶ παράλληλοί εἰσι· παράλληλος ἄρα ἐστὶν ἡ ΔΕ τῇ ΒΓ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΗΘ τῇ ΚΖ παράλληλος. ἔστιν ἄρα ὡς ἡ ΖΑ πρὸς τὴν ΑΗ, οὕτως ἥ τε ΖΒ πρὸς ΔΗ καὶ ἡ ΖΓ πρὸς ΗΕ καὶ ἡ ΖΚ πρὸς ΗΘ. καί εἰσιν αἱ τρεῖς αἱ ΒΖ, ΚΖ, ΖΓ ἴσαι ἀλλήλαις· καὶ αἱ τρεῖς ἄρα αἱ ΔΗ, ΗΘ, ΗΕ ἴσαι εἰσὶν ἀλλήλαις. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ πᾶσαι αἱ ἀπὸ τοῦ Η σημείου πρὸς τὴν ΔΕ γραμμὴν προσπίπτουσαι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσί.

κύκλος ἄρα ἐστὶν ἡ ΔΕ γραμμὴ τὸ κέντρον ἔχων ἐπὶ τοῦ ἄξονος.

π ό ρ ι σ μ α α'

καὶ φανερόν, ὅτι τὸ περιεχόμενον σχῆμα ὑπό τε τοῦ ΔΕ κύκλου καὶ τῆς ἀπολαμβανομένης ὑπ᾽ αὐτοῦ πρὸς τῷ Α σημείῳ κωνικῆς ἐπιφανείας κῶνός ἐστι.

π ό ρ ι σ μ α β'

καὶ συναποδέδεικται, ὅτι ἡ κοινὴ τομὴ τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ διὰ τοῦ ἄξονος τριγώνου διάμετρός ἐστι τοῦ κύκλου.

τομὴ τρίγωνον τὸ ΑΒΓ (θ. 3). Καὶ ἐπειδὴ τὰ σημεῖα Δ, Η, Ε εὑρίσκονται ἐπὶ τοῦ τέμνοντος ἐπιπέδου, εὑρίσκονται δὲ καὶ ἐπὶ τοῦ ἐπιπέδου ΑΒΓ εἶναι ἄρα ἡ ΔΗΕ εὐθεῖα (Εὐκλ. 11, 3). Ἂς ληφθῇ λοιπὸν σημεῖόν τι ἐπὶ τῆς εὐθείας γραμμῆς ΔΕ τὸ Θ, καὶ ἀφοῦ ἀχθῇ ἡ ΑΘ ἂς προεκβληθῇ. Θὰ συναντήσῃ λοιπὸν τὴν περιφέρειαν ΒΓ. Ἂς τὴν συναντήσῃ κατὰ τὸ Κ, καὶ ἂς ἀχθῶσιν αἱ ΗΘ, ΖΚ. Καὶ ἐπειδὴ δύο ἐπίπεδα παράλληλα τὰ ΔΕ, ΒΓ τέμνονται ὑπό τινος ἐπιπέδου τοῦ ΑΒΓ, αἱ κοιναὶ τομαὶ αὐτῶν εἶναι παράλληλοι (Εὐκλ. 11, 16)· εἶναι ἄρα ἡ ΔΕ παράλληλος πρὸς τὴν ΒΓ. Διὰ τοὺς αὐτοὺς λόγους καὶ ἡ ΗΘ εἶναι παράλληλος πρὸς τὴν ΚΖ. Εἶναι ἄρα ΖΑ : ΑΗ = ΖΒ: ΔΗ = ΖΓ: ΗΕ = ΖΚ : ΗΘ (Εὐκλ. 6, 4). Καὶ εἶναι ΒΖ = ΚΖ = ΖΓ· εἶναι ἄρα ΔΗ = ΗΘ = ΗΕ (Εὐκλ. 5, 9). Καθ' ὅμοιον τρόπον ἀποδεικνύεται, ὅτι καὶ ὅλαι αἱ ἀπὸ τοῦ σημείου Η πρὸς τὴν γραμμὴν ΔΕ προσπίπτουσαι εὐθεῖαι εἶναι μεταξύ των ἴσαι.

Ἡ γραμμὴ ἄρα ΔΕ εἶναι κύκλος ἔχων τὸ κέντρον ἐπὶ τοῦ ἄξονος.

Πόρισμα 1

Καὶ εἶναι φανερόν, ὅτι τὸ σχῆμα τὸ περιεχόμενον ὑπὸ τοῦ κύκλου ΔΕ καὶ τῆς ὑπ' αὐτοῦ ἀπολαμβανομένης κωνικῆς ἐπιφανείας μέχρι τοῦ σημείου Α εἶναι κῶνος.

Πόρισμα 2

Καὶ ἔχει ἀποδειχθῇ συνάμα, ὅτι ἡ κοινὴ τομὴ τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ διὰ τοῦ ἄξονος τριγώνου εἶναι διάμετρος τοῦ κύκλου.

ε′

Ἐὰν κῶνος σκαληνὸς ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος πρὸς ὀρθὰς τῇ βάσει, τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ πρὸς ὀρθὰς μὲν τῷ διὰ τοῦ ἄξονος τριγώνῳ, ἀφαιροῦντι δὲ πρὸς τῇ
H18 κορυφῇ τρίγωνον ὅμοιον μὲν τῷ διὰ τοῦ ἄξονος τριγώνῳ, ὑπεναντίως δὲ κείμενον, ἡ τομὴ κύκλος ἐστί, καλείσθω δὲ ἡ τοιαύτη τομὴ ὑπεναντία.

ἔστω κῶνος σκαληνός, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος ὀρθῷ πρὸς τὸν ΒΓ κύκλον, καὶ ποιείτω τομὴν τὸ ΑΒΓ τρίγωνον. τετμήσθω δὴ καὶ ἑτέρῳ ἐπιπέδῳ πρὸς ὀρθὰς ὄντι τῷ ΑΒΓ τριγώνῳ, ἀφαιροῦντι δὲ τρίγωνον πρὸς τῷ Α σημείῳ τὸ ΑΚΗ ὅμοιον μὲν τῷ ΑΒΓ τριγώνῳ, ὑπεναντίως δὲ κείμενον, τουτέστιν ὥστε ἴσην εἶναι τὴν ὑπὸ ΑΚΗ γωνίαν τῇ ὑπὸ ΑΒΓ. καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τὴν ΗΘΚ γραμμήν. λέγω, ὅτι κύκλος ἐστὶν ἡ ΗΘΚ γραμμή.



εἰλήφθω γάρ τινα σημεῖαἐ πὶ τῶν ΗΘΚ, ΒΓ γραμμῶν τὰ Θ, Λ, καὶ ἀπὸ τῶν Θ, Λ σημείων ἐπὶ τὸ διὰ τοῦ ΑΒΓ τριγώνου ἐπίπεδον κάθετοι ἤχθωσαν· πεσοῦνται δὴ ἐπὶ τὰς κοινὰς τομὰς τῶν ἐπιπέδων. πιπτέτωσαν ὡς αἱ ΖΘ, ΛΜ. παράλληλος ἄρα ἐστὶν ἡ ΖΘ τῇ ΛΜ. ἤχθω δὴ διὰ τοῦ Ζ τῇ ΒΓ παράλληλος ἡ ΔΖΕ· ἔστι δὲ καὶ ἡ ΖΘ τῇ ΛΜ παράλληλος· τὸ ἄρα διὰ τῶν ΖΘ, ΔΕ ἐπίπεδον παράλληλόν ἐστι τῇ βάσει τοῦ κώνου. κύκλος ἄρα ἐστίν, οὗ διάμετρος ἡ ΔΕ. ἴσον ἄρα τὸ ὑπὸ τῶν ΔΖ, ΖΕ τῷ ἀπὸ τῆς ΖΘ. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΕΔ τῇ ΒΓ, ἡ ὑπὸ ΑΔΕ

ΚΩΝΙΚΩΝ α'

5

Ἐὰν σκαληνὸς κῶνος τμηθῇ δι' ἐπιπέδου διερχομένου διὰ τοῦ ἄξονος καθέτως πρὸς τὴν βάσιν, τμηθῇ δὲ καὶ δι' ἄλλου ἐπιπέδου καθέτως μὲν πρὸς τὸ διὰ τοῦ ἄξονος διερχόμενον τρίγωνον, ἐνῷ ἀφαιρεῖται πρὸς τὴν κορυφὴν τρίγωνον ὅμοιον μὲν πρὸς τὸ διὰ τοῦ ἄξονος τρίγωνον, κείμενον δὲ ἀντιθέτως (ὑπεναντίως), ἡ τομὴ εἶναι κύκλος, ἂς καλῆται δὲ ἡ τοιαύτη τομὴ ὑπεναντία.

Ἔστω κῶνος σκαληνός, τοῦ ὁποίου κορυφὴ μὲν εἶναι τὸ σημεῖον Α, βάσις δὲ ὁ κύκλος ΒΓ, καὶ ἂς τμηθῇ δι' ἐπιπέδου διερχομένου διὰ τοῦ ἄξονος καθέτου πρὸς τὸν κύκλον ΒΓ, καὶ ἂς σχηματίζῃ τομὴν τὸ τρίγωνον ΑΒΓ (θ. 3). Ἂς τμηθῇ δὲ καὶ δι' ἄλλου ἐπιπέδου καθέτου πρὸς τὸ τρίγωνον ΑΒΓ ἀφαιροῦντος πρὸς τὸ σημεῖον Α τρίγωνον τὸ ΑΚΗ, ὅμοιον μὲν πρὸς τὸ τρίγωνον ΑΒΓ, κείμενον δὲ ἀντιθέτως, δηλαδή, ὥστε ἡ γωνία ΑΚΗ νὰ εἶναι ἴση πρὸς τὴν ΑΒΓ. Καὶ ἂς σχηματίζῃ τομὴν εἰς τὴν ἐπιφάνειαν τὴν γραμμὴν ΗΘΚ. Λέγω, ὅτι ἡ γραμμὴ ΗΘΚ εἶναι κύκλος.

Διότι ἂς ληφθῶσιν ἐπὶ τῶν γραμμῶν ΗΘΚ, ΒΓ σημεῖά τινα τὰ Θ, Λ, καὶ ἀπὸ τῶν σημείων Θ, Λ ἂς ἀχθῶσι κάθετοι ἐπὶ τὸ ἐπίπεδον τοῦ τριγώνου ΑΒΓ· θὰ πέσωσι λοιπὸν αὗται ἐπὶ τὰς κοινὰς τομὰς τῶν ἐπιπέδων (Εὐκλ. 11 ὁρισ. 6). Ἂς πέσωσιν ὅπως αἱ ΖΘ, ΛΜ. Εἶναι ἄρα ἡ ΖΘ παράλληλος πρὸς τὴν ΛΜ (Εὐκλ. 11, 6). Ἂς ἀχθῇ δὲ διὰ τοῦ Ζ παράλληλος πρὸς τὴν ΒΓ ἡ ΔΖΕ· εἶναι δὲ καὶ ἡ ΖΘ παράλληλος πρὸς τὴν ΛΜ. Τὸ ἐπίπεδον ἄρα τὸ διερχόμενον διὰ τῶν ΖΘ, ΔΕ εἶναι παράλληλον πρὸς τὴν βάσιν τοῦ κώνου (Εὐκλ. 11, 15). Εἶναι ἄρα τοῦτο κύκλος, τοῦ ὁποίου διάμετρος εἶναι ἡ ΔΕ (θ. 4). Τὸ ὀρθογώνιον ἄρα ΔΖ x ΖΕ = ΖΘ² (Εὐκλ. 6, 8). Καὶ ἐπειδὴ ἡ ΕΔ εἶναι παράλληλος πρὸς τὴν ΒΓ, ἡ γωνία ΑΔΕ = γωνίαν ΑΒΓ (Εὐκλ.

γωνία ἴση ἐστὶ τῇ ὑπὸ ΑΒΓ. ἡ δὲ ὑπὸ ΑΚΗ τῇ ὑπὸ ΑΒΓ ὑπόκειται ἴση· καὶ ἡ ὑπὸ ΑΚΗ ἄρα τῇ ὑπὸ ΑΔΕ ἐστιν ἴση. εἰσὶ δὲ καὶ αἱ πρὸς τῷ Ζ σημείῳ ἴσαι [κατὰ κορυφήν]. ὅμοιον ἄρα ἐστὶ τὸ ΔΖΗ τρίγωνον τῷ ΚΖΕ τριγώνῳ· ἔστιν ἄρα ὡς ἡ ΕΖ πρὸς τὴν ΖΚ, οὕτως ἡ ΗΖ πρὸς ΖΔ. τὸ ἄρα ὑπὸ τῶν ΕΖΔ
H20 *ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΚΖΗ. ἀλλὰ τῷ ὑπὸ τῶν ΕΖΔ ἴσον ἐδείχθη τὸ ἀπὸ τῆς ΖΘ· καὶ τὸ ὑπὸ τῶν ΚΖ, ΖΗ ἄρα ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΘ. ὁμοίως δὴ δειχθήσονται καὶ πᾶσαι αἱ ἀπὸ τῆς ΗΘΚ γραμμῆς ἐπὶ τὴν ΗΚ ἠγμέναι κάθετοι ἴσον δυνάμεναι τῷ ὑπὸ τῶν τμημάτων τῆς ΗΚ.*

κύκλος ἄρα ἐστὶν ἡ τομή, οὗ διάμετρος ἡ ΗΚ.

ϛʹ

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, ληφθῇ δέ τι σημεῖον ἐπὶ τῆς τοῦ κώνου ἐπιφανείας, ὃ μή ἐστιν ἐπὶ τῆς πλευρᾶς τοῦ διὰ τοῦ ἄξονος τριγώνου, καὶ ἀπ᾿ αὐτοῦ ἀχθῇ παράλληλος εὐθείᾳ τινί, ἥ ἐστι κάθετος ἀπὸ τῆς περιφερείας τοῦ κύκλου ἐπὶ τὴν βάσιν τοῦ τριγώνου, συμβαλεῖ τῷ διὰ τοῦ ἄξονος τριγώνῳ καὶ προσεκβαλλομένη ἕως τοῦ ἑτέρου μέρους τῆς ἐπιφανείας δίχα τμηθήσεται ὑπὸ τοῦ τριγώνου.

ἔστω κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ὁ κῶνος ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω κοινὴν τομὴν τὸ ΑΒΓ τρίγωνον, καὶ ἀπό τινος σημείου τῶν ἐπὶ τῆς ΒΓ περιφερείας τοῦ Μ κάθετος ἤχθω ἐπὶ τὴν ΒΓ ἡ ΜΝ. εἰλήφθω δὴ ἐπὶ τῆς ἐπιφανείας τοῦ κώνου σημεῖόν τι τὸ Δ, καὶ διὰ τοῦ Δ τῇ ΜΝ παράλληλος ἤχθω ἡ ΔΕ. λέγω, ὅτι ἡ ΔΕ ἐκβαλλομένη συμπεσεῖται τῷ

1, 29). Ἡ δὲ γωνία ΑΚΗ ὑπετέθη ἴση πρὸς τὴν ΑΒΓ· καὶ ἡ γωνία ἄρα ΑΚΗ = γωνίαν ΑΔΕ. Εἶναι δὲ καὶ αἱ πρὸς τὸ σημεῖον Ζ γωνίαι ἴσαι [κατὰ κορυφὴν] (Εὐκλ. 1, 15). Εἶναι ἄρα τὸ τρίγωνον ΔΖΗ ὅμοιον πρὸς τὸ τρίγωνον ΚΖΕ· εἶναι ἄρα ΕΖ: ΖΚ = ΗΖ:ΖΔ (Εὐκλ. 6, 4). Τὸ ὀρθογώνιον ἄρα ΕΖ x ΖΔ = ὀρθογ. ΚΖ x ΖΗ (Εὐκλ. 6, 17). Ἀλλὰ ἐδείχθη τὸ ΕΖ x ΖΔ = ΖΘ²· εἶναι ἄρα καὶ τὸ ΚΖ x ΖΗ = ΖΘ² (Εὐκλ. κοιναὶ ἔννοιαι α΄). Καθ' ὅμοιον τρόπον ἀποδεικνύεται, ὅτι ὅλαι αἱ κάθετοι αἱ ἀπὸ τῆς γραμμῆς ΗΘΚ ἐπὶ τὴν ΗΚ ἀχθεῖσαι σχηματίζουσι τετράγωνα ἴσα πρὸς τὰ ὀρθογώνια τῶν τμημάτων τῆς ΗΚ.

Εἶναι ἄρα ἡ τομὴ κύκλος, τοῦ ὁποίου διάμετρος εἶναι ἡ ΗΚ.

6

Ἐὰν κῶνος τμηθῇ δι' ἐπιπέδου διερχομένου διὰ τοῦ ἄξονος, ληφθῇ δὲ σημεῖόν τι ἐπὶ τῆς ἐπιφανείας τοῦ κώνου, τὸ ὁποῖον νὰ μὴ εἶναι ἐπὶ τῆς πλευρᾶς τοῦ διὰ τοῦ ἄξονος τριγώνου, καὶ ἀπ' αὐτοῦ ἀχθῇ παράλληλος πρὸς εὐθεῖάν τινα, ἡ ὁποία εἶναι κάθετος ἀπὸ τῆς περιφερείας τοῦ κύκλου ἐπὶ τὴν βάσιν τοῦ τριγώνου, συναντήσῃ δὲ τὸ διὰ τοῦ ἄξονος τρίγωνον καὶ προεκβαλλομένη μέχρι τοῦ ἄλλου μέρους τῆς ἐπιφανείας, αὕτη θὰ τμηθῇ εἰς τὸ μέσον ὑπὸ τοῦ τριγώνου.

Ἔστω κῶνος, τοῦ ὁποίου κορυφὴ μὲν εἶναι τὸ σημεῖον Α, βάσις δὲ ὁ κύκλος ΒΓ, καὶ ἂς τμηθῇ ὁ κῶνος δι' ἐπιπέδου διερχομένου διὰ τοῦ ἄξονος, καὶ ἂς σχηματίζῃ κοινὴν τομὴν τὸ τρίγωνον ΑΒΓ, καὶ ἀπό τινος σημείου Μ τῆς περιφερείας ΒΓ ἂς ἀχθῇ ἡ ΜΝ κάθετος ἐπὶ τὴν ΒΓ. Ἂς ληφθῇ δὲ ἐπὶ τῆς ἐπιφανείας τοῦ κώνου σημεῖόν τι τὸ Δ, καὶ διὰ τοῦ Δ ἂς ἀχθῇ παράλληλος πρὸς τὴν ΜΝ ἡ ΔΕ. Λέγω, ὅτι ἡ ΔΕ ἐκβαλλομένη θὰ συναντήσῃ *ἐπιπέδῳ τοῦ ΑΒΓ τριγώνου καὶ προσεκβαλλομένη ἐπὶ τὸ ἕτερον μέρος τοῦ κώνου, ἄχρις ἂν συμπέσῃ τῇ ἐπιφανείᾳ αὐτοῦ, δίχα τμηθήσεται ὑπὸ τοῦ ἐπιπέδου τοῦ ΑΒΓ τριγώνου.*

H22 *ἐπεζεύχθω ἡ ΑΔ καὶ ἐκβεβλήσθω· συμπεσεῖται ἄρα τῇ περιφερείᾳ τοῦ ΒΓ κύκλου. συμπιπτέτω κατὰ τὸ Κ, καὶ ἀπὸ τοῦ Κ ἐπὶ τὴν ΒΓ κάθετος ἤχθω ἡ ΚΘΛ· παράλληλος ἄρα ἐστὶν ἡ ΚΘ τῇ ΜΝ· καὶ τῇ ΔΕ ἄρα. ἐπεζεύχθω ἀπὸ τοῦ Α ἐπὶ τὸ Θ ἡ ΑΘ. ἐπεὶ οὖν ἐν τριγώνῳ τῷ ΑΘΓ τῇ ΘΚ παράλληλός ἐστιν ἡ ΔΕ, ἡ ΔΕ ἄρα ἐκβαλλομένη συμπεσεῖται τῇ ΑΘ. ἡ δὲ ΑΘ ἐν τῷ τοῦ ΑΒΓ ἐστὶν ἐπιπέδῳ· συμπεσεῖται ἄρα ἡ ΔΕ τῷ τοῦ ΑΒΓ τριγώνου ἐπιπέδῳ. διὰ τὰ αὐτὰ καὶ τῇ ΑΘ συμπίπτει· συμπιπτέτω κατὰ τὸ Ζ, καὶ ἐκβεβλήσθω ἡ ΔΖ ἐπ' εὐθείας, ἄχρις ἂν συμπέσῃ τῇ τοῦ κώνου ἐπιφανείᾳ. συμπιπτέτω κατὰ τὸ Η. λέγω, ὅτι ἴση ἐστὶν ἡ ΔΖ τῇ ΖΗ.*



ἐπεὶ γὰρ τὰ Α, Η, Λ σημεῖα ἐν τῇ τοῦ κώνου ἐστὶν ἐπιφανείᾳ, ἀλλὰ καὶ ἐν τῷ ἐπιπέδῳ τῷ διὰ τῶν ΑΘ, ΑΚ, ΔΗ, ΚΛ ἐκβαλλομένῳ, ὅπερ διὰ τῆς κορυφῆς τοῦ κώνου τρίγωνόν ἐστι, τὰ Α, Η, Λ ἄρα σημεῖα ἐπὶ τῆς κοινῆς ἐστι τομῆς τῆς τοῦ κώνου ἐπιφανείας καὶ τοῦ τριγώνου. εὐθεῖα ἄρα ἐστὶν ἡ διὰ τῶν Α, Η, Λ. ἐπεὶ οὖν ἐν τριγώνῳ τῷ ΑΛΚ τῇ ΚΘΛ βάσει παράλληλος ἦκται ἡ ΔΗ, καὶ διῆκταί τις ἀπὸ τοῦ Α ἡ ΑΖΘ, ἔστιν ὡς ἡ ΚΘ πρὸς ΘΛ, ἡ ΔΖ πρὸς ΖΗ. ἴση δὲ ἡ ΚΘ τῇ ΘΛ, ἐπείπερ ἐν κύκλῳ τῷ ΒΓ κάθε-

τὸ ἐπίπεδον τοῦ τριγώνου ΑΒΓ καὶ προεκτεινομένη πρὸς τὸ ἄλλο μέρος τοῦ κώνου, μέχρις ὅτου συναντήση τὴν ἐπιφάνειαν αὐτοῦ, θὰ τμηθῆ εἰς τὸ μέσον ὑπὸ τοῦ τριγώνου ΑΒΓ.

Ἂς ἀχθῆ ἡ ΑΔ καὶ ἂς προεκβληθῆ· θὰ συναντήση ἄρα τὴν περιφέρειαν τοῦ κύκλου ΒΓ (θ. 1). Ἂς τὴν συναντήση κατὰ τὸ Κ καὶ ἀπὸ τοῦ Κ ἂς ἀχθῆ κάθετος ἐπὶ τὴν ΒΓ ἡ ΚΘΛ· θὰ εἶναι ἄρα ἡ ΚΘ παράλληλος πρὸς τὴν ΜΝ (Εὐκλ. 1, 28)· καὶ συνεπῶς καὶ πρὸς τὴν ΔΕ (Εὐκλ. 11, 9). Ἂς ἀχθῆ ἀπὸ τοῦ Α ἐπὶ τὸ Θ ἡ ΑΘ. Ἐπειδὴ λοιπὸν εἰς τὸ τρίγωνον ΑΘΚ ἡ ΔΕ εἶναι παράλληλος πρὸς τὴν ΘΚ, ἡ ΔΕ ἄρα προεκβαλλομένη θὰ συναντήση τὴν ΑΘ (Εὐκλ. 6, 2). Ἡ δὲ ΑΘ εἶναι εἰς τὸ ἐπίπεδον τοῦ ΑΒΓ· θὰ συναντήση ἄρα ἡ ΔΕ τὸ ἐπίπεδον τοῦ τριγώνου ΑΒΓ. Διὰ τοὺς αὐτοὺς λόγους θὰ συναντήση καὶ τὴν ΑΘ· ἂς τὴν συναντήση κατὰ τὸ Ζ καὶ ἂς προεκβληθῆ ἡ ΔΖ εὐθυγράμμως, μέχρις ὅτου συναντήση τὴν ἐπιφάνειαν τοῦ κώνου. Ἂς τὴν συναντήση κατὰ τὸ Η. Λέγω, ὅτι ἡ ΔΖ = ΖΗ.





Διότι, ἐπειδὴ τὰ σημεῖα Α, Η, Λ εἶναι εἰς τὴν ἐπιφάνειαν τοῦ κώνου, ἀλλὰ καὶ εἰς τὸ ἐπίπεδον τὸ ἐκβαλλόμενον διὰ τῶν ΑΘ, ΑΚ, ΔΗ, ΚΛ, τὸ ὁποῖον εἶναι τρίγωνον διὰ τῆς κορυφῆς τοῦ κώνου (θ. 3), τὰ σημεῖα ἄρα Α, Η, Λ εἶναι ἐπὶ τῆς κοινῆς τομῆς τῆς ἐπιφανείας τοῦ κώνου καὶ τοῦ τριγώνου. Ἡ γραμμὴ ἄρα ἡ διερχομένη διὰ τῶν Α, Η, Λ εἶναι εὐθεῖα. Ἐπειδὴ λοιπὸν εἰς τὸ τρίγωνον ΑΛΚ πρὸς τὴν βάσιν ΚΘΛ ἡ ΔΗ ἔχει ἀχθῆ παράλληλος, καὶ ἀπὸ τοῦ Α ἤχθη ἄλλη εὐθεῖα ἡ ΑΖΘ, εἶναι ὡς ΚΘ : ΘΛ = ΔΖ : ΖΗ (Εὐκλ. 6, 2). Εἶναι δὲ *τός ἐστιν ἐπὶ τὴν διάμετρον ἡ ΚΛ. ἴση ἄρα καὶ ἡ ΔΖ τῇ ΖΗ.*

ζ'

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὸ ἐπίπεδον, ἐν ᾧ ἐστιν ἡ H24 *βάσις τοῦ κώνου, κατ᾽ εὐθεῖαν πρὸς ὀρθὰς οὖσαν ἤτοι τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος τριγώνου ἢ τῇ ἐπ᾽ εὐθείας αὐτῇ, αἱ ἀγόμεναι εὐθεῖαι ἀπὸ τῆς γενηθείσης τομῆς ἐν τῇ τοῦ κώνου ἐπιφανείᾳ, ἣν ἐποίησε τὸ τέμνον ἐπίπεδον, παράλληλοι τῇ πρὸς ὀρθὰς τῇ βάσει τοῦ τριγώνου εὐθείᾳ ἐπὶ τὴν κοινὴν τομὴν πεσοῦνται τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ διὰ τοῦ ἄξονος τριγώνου καὶ προσεκβαλλόμεναι ἕως τοῦ ἑτέρου μέρους τῆς τομῆς δίχα τμηθήσονται ὑπ᾽ αὐτῆς, καὶ ἐὰν μὲν ὀρθὸς ᾖ ὁ κῶνος, ἡ ἐν τῇ βάσει εὐθεῖα πρὸς ὀρθὰς ἔσται τῇ κοινῇ τομῇ τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ διὰ τοῦ ἄξονος τριγώνου, ἐὰν δὲ σκαληνός, οὐκ αἰεὶ πρὸς ὀρθὰς ἔσται, ἀλλ᾽ ὅταν τὸ διὰ τοῦ ἄξονος ἐπίπεδον πρὸς ὀρθὰς ᾖ τῇ βάσει τοῦ κώνου.*

ἔστω κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω τομὴν τὸ ΑΒΓ τρίγωνον. τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὸ ἐπίπεδον, ἐν ᾧ ἐστιν ὁ ΒΓ κύκλος, κατ᾽ εὐθεῖαν τὴν ΔΕ ἤτοι πρὸς ὀρθὰς οὖσαν τῇ ΒΓ ἢ τῇ ἐπ᾽ εὐθείας αὐτῇ, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου τὴν ΔΖΕ· κοινὴ δὴ τομὴ τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ ΑΒΓ τριγώνου ἡ ΖΗ. καὶ εἰλήφθω τι σημεῖον ἐπὶ H26 *τῆς ΔΖΕ τομῆς τὸ Θ, καὶ ἤχθω διὰ τοῦ Θ τῇ ΔΕ παράλ-*

ΚΘ = ΘΛ, ἐπειδὴ εἰς τὸν κύκλον ΒΓ ἡ ΚΛ εἶναι κάθετος ἐπὶ τὴν διάμετρον (Εὐκλ. 3, 3). Εἶναι ἄρα ΔΖ = ΖΗ.

7

Ἐὰν κῶνος τμηθῇ δι' ἐπιπέδου διερχομένου διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ δι' ἄλλου ἐπιπέδου τέμνοντος τὸ ἐπίπεδον, εἰς τὸ ὁποῖον εἶναι ἡ βάσις τοῦ κώνου, κατ' εὐθεῖαν, ἡ ὁποία νὰ εἶναι κάθετος ἢ ἐπὶ τὴν βάσιν τοῦ διὰ τοῦ ἄξονος τριγώνου ἢ ἐπὶ τὴν προέκτασιν τῆς βάσεως, αἱ ἀγόμεναι εὐθεῖαι ἀπὸ τῆς γενηθείσης τομῆς εἰς τὴν ἐπιφάνειαν τοῦ κώνου, τὴν ὁποίαν ἔκαμε τὸ τέμνον ἐπίπεδον, αἵτινες εἶναι παράλληλοι πρὸς τὴν εὐθεῖαν τὴν κάθετον ἐπὶ τὴν βάσιν τοῦ τριγώνου θὰ συναντήσωσι τὴν κοινὴν τομὴν τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ διὰ τοῦ ἄξονος διερχομένου τριγώνου καὶ ἐκβαλλόμεναι μέχρι τοῦ ἄλλου μέρους τῆς τομῆς θὰ τμηθῶσιν ὑπ' αὐτῆς εἰς τὸ μέσον, καὶ ἂν μὲν ὁ κῶνος εἶναι ὀρθός, ἡ εἰς τὴν βάσιν εὐθεῖα θὰ εἶναι κάθετος ἐπὶ τὴν κοινὴν τομὴν τοῦ τέμνοντος ἐπιπέδου καὶ τὸ διὰ τοῦ ἄξονος τρίγωνον, ἐὰν δὲ εἶναι σκαληνός, δὲν θὰ εἶναι πάντοτε κάθετος, ἀλλὰ μόνον ὅταν τὸ διὰ τοῦ ἄξονος ἐπίπεδον εἶναι κάθετον ἐπὶ τὴν βάσιν τοῦ κώνου.

Ἔστω κῶνος, τοῦ ὁποίου κορυφὴ μὲν εἶναι τὸ σημεῖον Α, βάσις δὲ ὁ κύκλος ΒΓ, καὶ ἂς τμηθῇ δι' ἐπιπέδου διερχομένου διὰ τοῦ ἄξονος, καὶ ἂς σχηματίζῃ τομὴν τὸ τρίγωνον ΑΒΓ. Ἂς τμηθῇ δὲ καὶ δι' ἄλλου ἐπιπέδου τέμνοντος τὸ ἐπίπεδον, εἰς τὸ ὁποῖον εἶναι ὁ κύκλος ΒΓ, κατὰ εὐθεῖαν τὴν ΔΕ, ἡ ὁποία ἢ νὰ εἶναι κάθετος ἐπὶ τὴν ΒΓ ἢ ἐπὶ τὴν προέκτασιν αὐτῆς, καὶ ἂς σχηματίζῃ τομὴν εἰς τὴν ἐπιφάνειαν τοῦ κώνου τὴν ΔΖΕ. Ἔστω δὲ κοινὴ τομὴ τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ τριγώνου ΑΒΓ ἡ ΖΗ. Καὶ ἂς ληφθῇ σημεῖόν τι ἐπὶ τῆς τομῆς ΔΖΕ τὸ Θ, καὶ ἂς ληλος ἡ ΘΚ. λέγω, ὅτι ἡ ΘΚ συμβαλεῖ τῇ ΖΗ καὶ ἐκβαλλομένη ἕως τοῦ ἑτέρου μέρους τῆς ΔΖΕ τομῆς δίχα τμηθήσεται ὑπὸ τῆς ΖΗ εὐθείας.

ἐπεὶ γὰρ κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, τέτμηται ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιεῖ τομὴν τὸ ΑΒΓ τρίγωνον, εἴληπται δέ τι σημεῖον ἐπὶ τῆς ἐπιφανείας, ὃ μή ἐστιν ἐπὶ πλευρᾶς τοῦ ΑΒΓ τριγώνου, τὸ Θ, καὶ ἔστι κάθετος ἡ ΔΗ ἐπὶ τὴν ΒΓ, ἡ ἄρα διὰ τοῦ Θ τῇ ΔΗ παράλληλος ἀγομένη, τουτέστιν ἡ ΘΚ, συμβαλεῖ τῷ ΑΒΓ τριγώνῳ καὶ προσεκβαλλομένη ἕως τοῦ ἑτέρου μέρους τῆς ἐπιφανείας δίχα τμηθήσεται ὑπὸ τοῦ τριγώνου. ἐπεὶ οὖν ἡ διὰ τοῦ Θ τῇ ΔΕ παράλληλος ἀγομένη συμβάλλει τῷ ΑΒΓ τριγώνῳ καὶ ἔστιν ἐν τῷ διὰ τῆς ΔΖΕ τομῆς ἐπιπέδῳ, ἐπὶ τὴν κοινὴν ἄρα τομὴν πεσεῖται τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ ΑΒΓ τριγώνου. κοινὴ δὲ τομή ἐστι τῶν ἐπιπέδων ἡ ΖΗ· ἡ ἄρα διὰ τοῦ Θ τῇ ΔΕ παράλληλος ἀγομένη πεσεῖται ἐπὶ τὴν ΖΗ· καὶ προσεκβαλλομένη ἕως τοῦ ἑτέρου μέρους τῆς ΔΖΕ τομῆς δίχα τμηθήσεται ὑπὸ τῆς ΖΗ εὐθείας.



ἤτοι δὴ ὁ κῶνος ὀρθός ἐστιν, ἢ τὸ διὰ τοῦ ἄξονος τρίἀχθῇ διὰ τοῦ Θ ἡ ΘΚ παράλληλος πρὸς τὴν ΔΕ. Λέγω, ὅτι ἡ ΘΚ θὰ συναντήσῃ τὴν ΖΗ καὶ προεκβαλλομένη μέχρι τοῦ ἄλλου μέρους τῆς τομῆς ΔΖΕ θὰ τμηθῇ εἰς τὸ μέσον ὑπὸ τῆς εὐθείας ΖΗ.

Διότι, ἐπειδὴ ὁ κῶνος, τοῦ ὁποίου κορυφὴ μὲν εἶναι τὸ σημεῖον Α, βάσις δὲ ὁ κύκλος ΒΓ, ἔχει τμηθῇ δι' ἐπιπέδου διὰ τοῦ ἄξονος, καὶ σχηματίζει τομὴν τὸ τρίγωνον ΑΒΓ, ἔχει ληφθῇ δὲ σημεῖόν τι ἐπὶ τῆς ἐπιφανείας, τὸ ὁποῖον δὲν εἶναι ἐπὶ πλευρᾶς τοῦ τριγώνου ΑΒΓ τὸ Θ, καὶ ἡ ΔΗ εἶναι κάθετος ἐπὶ τὴν ΒΓ, ἡ διὰ τοῦ Θ ἄρα ἀγομένη παράλληλος πρὸς τὴν ΔΗ, τουτέστιν ἡ ΘΚ, θὰ συναντήσῃ τὸ τρίγωνον ΑΒΓ καὶ προεκβαλλομένη μέχρι



τοῦ ἄλλου μέρους τῆς ἐπιφανείας θὰ τμηθῇ εἰς τὸ μέσον ὑπὸ τοῦ τριγώνου (θ. 6). Ἐπειδὴ λοιπὸν ἡ διὰ τοῦ Θ ἀγομένη παράλληλος πρὸς τὴν ΔΕ συναντᾷ τὸ τρίγωνον ΑΒΓ καὶ εἶναι εἰς τὸ διὰ τῆς ΔΖΕ τομῆς ἐπίπεδον, θὰ συναντήσῃ ἄρα τὴν κοινὴν τομὴν τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ τριγώνου ΑΒΓ. Κοινὴ δὲ τομὴ τῶν ἐπιπέδων εἶναι ἡ ΖΗ· ἡ διὰ τοῦ Θ ἄρα ἀγομένη παράλληλος πρὸς τὴν ΔΕ θὰ συναντήσῃ τὴν ΖΗ· καὶ προεκβαλλομένη μέχρι τοῦ ἄλλου μέρους τῆς τομῆς ΔΖΕ θὰ τμηθῇ εἰς τὸ μέσον ὑπὸ τῆς εὐθείας ΖΗ.

Τώρα, ἢ ὁ κῶνος εἶναι ὀρθός, ἢ τὸ διὰ τοῦ ἄξονος τρίγωνον

γωνον τὸ ΑΒΓ ὀρθόν ἐστι πρὸς τὸν ΒΓ κύκλον, ἢ οὐδέτερον.

ἔστω πρότερον ὁ κῶνος ὀρθός· εἴη ἂν οὖν καὶ τὸ ΑΒΓ τρίγωνον ὀρθὸν πρὸς τὸν ΒΓ κύκλον. ἐπεὶ οὖν ἐπίπεδον τὸ ΑΒΓ πρὸς ἐπίπεδον τὸ ΒΓ ὀρθόν ἐστι, καὶ τῇ κοινῇ αὐτῶν τομῇ τῇ ΒΓ ἐν ἑνὶ τῶν ἐπιπέδων τῷ ΒΓ πρὸς ὀρθὰς ἦκται ἡ ΔΕ, ἡ ΔΕ ἄρα τῷ ΑΒΓ τριγώνῳ ἐστὶ πρὸς ὀρθάς· καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν
H28 *τῷ ΑΒΓ τριγώνῳ ὀρθή ἐστιν. ὥστε καὶ πρὸς τὴν ΖΗ ἐστι πρὸς ὀρθάς.*

μὴ ἔστω δὴ ὁ κῶνος ὀρθός. εἰ μὲν οὖν τὸ διὰ τοῦ ἄξονος τρίγωνον ὀρθόν ἐστι πρὸς τὸν ΒΓ κύκλον, ὁμοίως δείξομεν, ὅτι καὶ ἡ ΔΕ τῇ ΖΗ ἐστι πρὸς ὀρθάς. μὴ ἔστω δὴ τὸ διὰ τοῦ ἄξονος τρίγωνον τὸ ΑΒΓ ὀρθὸν πρὸς τὸν ΒΓ κύκλον. λέγω, ὅτι οὐδὲ ἡ ΔΕ τῇ ΖΗ ἐστι πρὸς ὀρθάς. εἰ γὰρ δυνατόν, ἔστω· ἔστι δὲ καὶ τῇ ΒΓ πρὸς ὀρθάς· ἡ ἄρα ΔΕ ἑκατέρα τῶν ΒΓ, ΖΗ ἐστι πρὸς ὀρθάς. καὶ τῷ διὰ τῶν ΒΓ, ΖΗ ἐπιπέδῳ ἄρα πρὸς ὀρθὰς ἔσται. τὸ δὲ διὰ τῶν ΒΓ, ΗΖ ἐπίπεδόν ἐστι τὸ ΑΒΓ· καὶ ἡ ΔΕ ἄρα τῷ ΑΒΓ τριγώνῳ ἐστὶ πρὸς ὀρθάς. καὶ πάντα ἄρα τὰ δι' αὐτῆς ἐπίπεδα τῷ ΑΒΓ τριγώνῳ ἐστὶ πρὸς ὀρθάς. ἓν δέ τι τῶν διὰ τῆς ΔΕ ἐπιπέδων ἐστὶν ὁ ΒΓ κύκλος· ὁ ΒΓ ἄρα κύκλος πρὸς ὀρθάς ἐστι τῷ ΑΒΓ τριγώνῳ. ὥστε καὶ τὸ ΑΒΓ τρίγωνον ὀρθὸν ἔσται πρὸς τὸν ΒΓ κύκλον· ὅπερ οὐχ ὑπόκειται· οὐκ ἄρα ἡ ΔΕ τῇ ΖΗ ἐστι πρὸς ὀρθάς.

π ό ρ ι σ μ α

ἐκ δὴ τούτου φανερόν, ὅτι τῆς ΔΖΕ τομῆς διάμετρός ἐστιν ἡ ΖΗ, ἐπείπερ τὰς ἀγομένας παραλλήλους εὐθεία τὸ ΑΒΓ εἶναι κάθετον ἐπὶ τὸν κύκλον ΒΓ, ἢ δὲν συμβαίνει τίποτε ἐκ τῶν δύο.

Ἔστω πρῶτον ὁ κῶνος ὀρθός· ἐν τοιαύτῃ περιπτώσει καὶ τὸ τρίγωνον ΑΒΓ θὰ εἶναι κάθετον ἐπὶ τὸν κύκλον ΒΓ (ὁρισ. 3, Εὐκλ. 11, 18). Ἐπειδὴ λοιπὸν τὸ ἐπίπεδον ΑΒΓ εἶναι κάθετον ἐπὶ τὸ ἐπίπεδον ΒΓ καὶ εἰς τὴν κοινὴν τομὴν αὐτῶν τὴν ΒΓ εἰς ἓν τῶν ἐπιπέδων τὸ ΒΓ ἔχει ἀχθῇ κάθετος ἡ ΔΕ, ἡ ΔΕ ἄρα εἶναι κάθετος ἐπὶ τὸ τρίγωνον ΑΒΓ· εἶναι ἄρα κάθετος καὶ πρὸς ὅλας τὰς εὐθείας, τὰς ὁποίας συναντᾷ, τὰς εὑρισκομένας εἰς τὸ τρίγωνον ΑΒΓ. Ὥστε εἶναι κάθετος καὶ ἐπὶ τὴν ΖΗ.

Ἔστω τώρα ὁ κῶνος μὴ ὀρθός. Ἐὰν μὲν λοιπὸν τὸ διὰ τοῦ ἄξονος τρίγωνον εἶναι κάθετον ἐπὶ τὸν κύκλον ΒΓ, ὁμοίως ἀποδεικνύεται, ὅτι καὶ ἡ ΔΕ εἶναι κάθετος ἐπὶ τὴν ΖΗ. Ἀλλὰ ἂς μὴ εἶναι τὸ διὰ τοῦ ἄξονος τρίγωνον τὸ ΑΒΓ κάθετον ἐπὶ τὸν κύκλον ΒΓ. Λέγω, ὅτι οὔτε ἡ ΔΕ εἶναι κάθετος ἐπὶ τὴν ΖΗ. Διότι ἐὰν εἶναι δυνατόν, ἔστω, ὅτι εἶναι· εἶναι δὲ καὶ ἐπὶ τὴν ΒΓ κάθετος· ἡ ΔΕ ἄρα εἶναι ἐφ' ἑκάστην τῶν ΒΓ, ΖΗ κάθετος. Θὰ εἶναι ἄρα κάθετος καὶ ἐπὶ τὸ διὰ τῶν ΒΓ, ΖΗ ἐπίπεδον (Εὐκλ. 11, 4). Τὸ δὲ διὰ τῶν ΒΓ, ΗΖ ἐπίπεδον εἶναι τὸ ΑΒΓ· καὶ ἡ ΔΕ ἄρα εἶναι κάθετος ἐπὶ τὸ τρίγωνον ΑΒΓ. Καὶ ὅλα ἄρα τὰ δι' αὐτῆς διερχόμενα ἐπίπεδα εἶναι κάθετα ἐπὶ τὸ τρίγωνον ΑΒΓ (Εὐκλ. 11, 18). Ἓν δὲ ἐκ τῶν διὰ τῆς ΔΕ ἐπιπέδων εἶναι ὁ κύκλος ΒΓ· ὁ κύκλος ἄρα ΒΓ εἶναι κάθετος ἐπὶ τὸ τρίγωνον ΑΒΓ. Ὥστε καὶ τὸ τρίγωνον ΑΒΓ εἶναι κάθετον εἰς τὸν κύκλον ΒΓ· τὸ ὁποῖον εἶναι ἀντίθετον τῆς ὑποθέσεως. Ἡ ΔΕ ἄρα δὲν εἶναι κάθετος ἐπὶ τὴν ΖΗ.

Πόρισμα

Ἐκ τούτου λοιπὸν εἶναι φανερόν, ὅτι τῆς τομῆς ΔΖΕ διάμετρος εἶναι ἡ ΖΗ, ἐπειδὴ τὰς ἀγομένας παραλλήλους πρὸς εὐ-

τινὶ τῇ ΔΕ δίχα τέμνει, καὶ ὅτι δυνατόν ἐστιν ὑπὸ τῆς διαμέτρου τῆς ΖΗ παραλλήλους τινὰς δίχα τέμνεσθαι καὶ μὴ πρὸς ὀρθάς.

η′

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ᾽ H30 *εὐθεῖαν πρὸς ὀρθὰς οὖσαν τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος τριγώνου, ἡ δὲ διάμετρος τῆς γινομένης ἐν τῇ ἐπιφανείᾳ τομῆς ἤτοι παρὰ μίαν ᾖ τῶν τοῦ τριγώνου πλευρῶν ἢ συμπίπτῃ αὐτῇ ἐκτὸς τῆς κορυφῆς τοῦ κώνου, προσεκβάλληται δὲ ἥ τε τοῦ κώνου ἐπιφάνεια καὶ τὸ τέμνον ἐπίπεδον εἰς ἄπειρον, καὶ ἡ τομὴ εἰς ἄπειρον αὐξηθήσεται, καὶ ἀπὸ τῆς διαμέτρου τῆς τομῆς πρὸς τῇ κορυφῇ πάσῃ τῇ δοθείσῃ εὐθείᾳ ἴσην ἀπολήψεταί τις εὐθεῖα ἀγομένη ἀπὸ τῆς τοῦ κώνου τομῆς παρὰ τὴν ἐν τῇ βάσει τοῦ κώνου εὐθεῖαν.*

ἔστω κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω τομὴν τὸ ΑΒΓ τρίγωνον· τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὸν ΒΓ κύκλον κατ᾽ εὐθεῖαν τὴν ΔΕ πρὸς ὀρθὰς οὖσαν τῇ ΒΓ, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τὴν ΔΖΕ γραμμήν· ἡ δὲ διάμετρος τῆς ΔΖΕ τομῆς ἡ ΖΗ ἤτοι παράλληλος ἔστω τῇ ΑΓ ἢ ἐκβαλλομένη συμπιπτέτω αὐτῇ ἐκτὸς τοῦ Α σημείου. λέγω, ὅτι καί, ἐὰν ἥ τε τοῦ κώνου ἐπιφάνεια καὶ τὸ τέμνον ἐπίπεδον ἐκβάλληται εἰς θεῖάν τινα τὴν ΔΕ τέμνει εἰς τὸ μέσον, καὶ ὅτι εἶναι δυνατὸν παράλληλοί τινες νὰ τέμνωνται ὑπὸ τῆς διαμέτρου ΖΗ εἰς τὸ μέσον καὶ ὄχι καθέτως.

8

Ἐὰν κῶνος τμηθῇ δι' ἐπιπέδου διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ δι' ἄλλου ἐπιπέδου τέμνοντος τὴν βάσιν τοῦ κώνου κατ' εὐθεῖαν κάθετον οὖσαν ἐπὶ τὴν βάσιν τοῦ διὰ τοῦ ἄξονος τριγώνου, ἡ δὲ διάμετρος τῆς γινομένης εἰς τὴν ἐπιφάνειαν τομῆς ἢ εἶναι παράλληλος πρὸς μίαν τῶν πλευρῶν τοῦ τριγώνου ἢ συμπίπτῃ πρὸς αὐτὴν ἐκτὸς τῆς κορυφῆς τοῦ κώνου, προεκβάλληται δὲ ἐπ' ἄπειρον καὶ ἡ ἐπιφάνεια τοῦ κώνου καὶ τὸ τέμνον ἐπίπεδον, θὰ αὐξηθῇ ἐπ' ἄπειρον καὶ ἡ τομή, καὶ ἀπὸ τῆς διαμέτρου τῆς τομῆς μέχρι τῆς κορυφῆς εἶναι δυνατὸν νὰ ληφθῇ εὐθεῖα ἴση πρὸς πᾶσαν δοθεῖσαν εὐθεῖαν ἀγομένη ἀπὸ τῆς τομῆς τοῦ κώνου παράλληλος πρὸς τὴν εἰς τὴν βάσιν τοῦ κώνου εὐθεῖαν.



Ἔστω κῶνος, τοῦ ὁποίου κορυφὴ μὲν ἔστω τὸ σημεῖον Α, βάσις δὲ ὁ κύκλος ΒΓ, καὶ ἂς τμηθῇ δι' ἐπιπέδου διερχομένου διὰ τοῦ ἄξονος, καὶ ἂς σχηματίζῃ τομὴν τὸ τρίγωνον ΑΒΓ· ἂς τμηθῇ δὲ καὶ δι' ἄλλου ἐπιπέδου τέμνοντος τὸν κύκλον ΒΓ κατὰ τὴν εὐθεῖαν ΔΕ οὖσαν κάθετον ἐπὶ τὴν ΒΓ, καὶ ἂς σχηματίζῃ τομὴν εἰς τὴν ἐπιφάνειαν τὴν γραμμὴν ΔΖΕ· ἡ δὲ διάμετρος τῆς τομῆς ΔΖΕ, ἡ ΖΗ, ἢ νὰ εἶναι παράλληλος πρὸς τὴν ΑΓ ἢ ἐκβαλλομένη νὰ συναντήσῃ αὐτὴν ἐκτὸς τοῦ σημείου Α. Λέγω, ὅτι καί, ἐὰν ἡ ἐπιφάνεια τοῦ κώνου καὶ τὸ τέμνον ἐπίπεδον ἐκ-

ἄπειρον, καὶ ἡ ΔΖΕ τομὴ εἰς ἄπειρον αὐξηθήσεται.

ἐκβεβλήσθω γὰρ ἥ τε τοῦ κώνου ἐπιφάνεια καὶ τὸ τέμνον ἐπίπεδον· φανερὸν δή, ὅτι καὶ αἱ ΑΒ, ΑΓ, ΖΗ συνεκβληθήσονται. ἐπεὶ ἡ ΖΗ τῇ ΑΓ ἤτοι παράλληλός ἐστιν ἢ ἐκβαλλομένη συμπίπτει αὐτῇ ἐκτὸς τοῦ Α σημείου, αἱ ΖΗ, ΑΓ ἄρα ἐκβαλλόμεναι ὡς ἐπὶ τὰ Γ, Η μέρη οὐδέποτε συμπεσοῦνται. ἐκβεβλήσθωσαν οὖν, καὶ εἰλήφθω τι σημεῖον
H32 *ἐπὶ τῆς ΖΗ τυχὸν τὸ Θ, καὶ διὰ τοῦ Θ σημείου τῇ μὲν ΒΓ παράλληλος ἤχθω ἡ ΚΘΛ, τῇ δὲ ΔΕ παράλληλος ἡ ΜΘΝ· τὸ ἄρα διὰ τῶν ΚΛ, ΜΝ ἐπίπεδον παράλληλόν ἐστι τῷ διὰ τῶν ΒΓ, ΔΕ. κύκλος ἄρα ἐστὶ τὸ ΚΛΜΝ ἐπίπεδον. καὶ ἐπεὶ τὰ Δ, Ε, Μ, Ν σημεῖα ἐν τῷ τέμνοντί ἐστιν ἐπιπέδῳ, ἔστι δὲ καὶ ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου, ἐπὶ τῆς κοινῆς ἄρα τομῆς ἐστιν· ηὔξηται ἄρα ἡ ΔΖΕ μέχρι τῶν Μ, Ν σημείων· αὐξηθείσης ἄρα τῆς ἐπιφανείας τοῦ κώνου καὶ τοῦ τέμνοντος ἐπιπέδου μέχρι τοῦ ΚΛΜΝ κύκλου ηὔξηται καὶ ἡ ΔΖΕ τομὴ μέχρι τῶν Μ, Ν σημείων. ὁμοίως δὴ δείξομεν, ὅτι καί, ἐὰν εἰς ἄπειρον ἐκβάλληται ἥ τε τοῦ κώνου ἐπιφάνεια καὶ τὸ τέμνον ἐπίπεδον, καὶ ἡ ΜΔΖΕΝ τομὴ εἰς ἄπειρον αὐξηθήσεται.*

καὶ φανερόν, ὅτι πάσῃ τῇ δοθείσῃ εὐθείᾳ ἴσην ἀπολήψεταί τις ἀπὸ τῆς ΖΘ εὐθείας πρὸς τῷ Ζ σημείῳ. ἐὰν γὰρ τῇ δοθείσῃ ἴσην θῶμεν τὴν ΖΞ καὶ διὰ τοῦ Ξ τῇ ΔΕ παράλληλον ἀγάγωμεν, συμπεσεῖται τῇ τομῇ, ὥσπερ καὶ ἡ διὰ τοῦ Θ ἀπεδείχθη συμπίπτουσα τῇ τομῇ κατὰ τὰ Μ, Ν σημεῖα· ὥστε ἄγεταί τις εὐθεῖα συμπίπτουσα τῇ τομῇ παράλληλος οὖσα τῇ ΔΕ ἀπολαμβάνουσα ἀπὸ τῆς ΖΗ εὐθεῖαν ἴσην τῇ δοθείσῃ πρὸς τῷ Ζ σημείῳ.

βάλλωνται ἐπ᾽ ἄπειρον, καὶ ἡ τομὴ ΔΖΕ θὰ αὐξηθῇ ἐπ᾽ ἄπειρον.

Διότι ἂς ἐκβληθῇ καὶ ἡ ἐπιφάνεια τοῦ κώνου καὶ τὸ τέμνον ἐπίπεδον· εἶναι φανερὸν λοιπόν, ὅτι καὶ αἱ ΑΒ, ΑΓ, ΖΗ θὰ ἐκβληθῶσιν ἐπίσης. Ἐπειδὴ ἡ ΖΗ ἢ εἶναι παράλληλος πρὸς τὴν ΑΓ ἢ ἐκβαλλομένη συμπίπτει πρὸς αὐτὴν ἐκτὸς τοῦ σημείου Α, αἱ ΖΗ, ΑΓ ἄρα ἐκβαλλόμεναι πέραν τῶν μερῶν Γ, Η οὐδέποτε θὰ συναντηθῶσιν. Ἂς προεκβληθῶσι λοιπόν, καὶ ἂς ληφθῇ τυχὸν σημεῖόν τι τὸ Θ ἐπὶ τῆς ΖΗ, καὶ διὰ τοῦ σημείου Θ πρὸς μὲν τὴν ΒΓ ἂς ἀχθῇ παράλληλος ἡ ΚΘΛ, πρὸς δὲ τὴν ΔΕ παράλληλος ἡ ΜΘΝ· τὸ ἐπίπεδον ἄρα τὸ διερχόμενον διὰ τῶν ΚΛ, ΜΝ εἶναι παράλληλον πρὸς τὸ διερχόμενον διὰ τῶν ΒΓ, ΔΕ (Εὐκλ. 11, 15). Τὸ ἐπίπεδον ἄρα ΚΛΜΝ εἶναι κύκλος (θ. 4). Καὶ ἐπειδὴ τὰ σημεῖα Δ, Ε, Μ, Ν εἶναι εἰς τὸ τέμνον ἐπίπεδον, εἶναι δὲ καὶ εἰς τὴν ἐπιφάνειαν τοῦ κώνου, εἶναι ἄρα ἐπὶ τῆς κοινῆς τομῆς· ἔχει αὐξηθῆ ἄρα καὶ ἡ γραμμὴ ΔΖΕ μέχρι τῶν σημείων Μ, Ν. Αὐξηθείσης ἄρα τῆς ἐπιφανείας τοῦ κώνου καὶ τοῦ τέμνοντος ἐπιπέδου μέχρι τοῦ κύκλου ΚΛΜΝ αὐξάνεται καὶ ἡ τομὴ ΔΖΕ μέχρι τῶν σημείων Μ, Ν. Καθ᾽ ὅμοιον τρόπον ἀποδεικνύομεν, ὅτι καί, ἐὰν ἐπ᾽ ἄπειρον ἐκβάλληται καὶ ἡ ἐπιφάνεια τοῦ κώνου καὶ τὸ τέμνον ἐπίπεδον, καὶ ἡ τομὴ ΜΔΖΕΝ θὰ αὐξάνεται ἐπ᾽ ἄπειρον.

Καὶ εἶναι φανερόν, ὅτι πρὸς πᾶσαν δοθεῖσαν εὐθεῖαν εἶναι δυνατὸν νὰ λαμβάνηται ἴση εὐθεῖα ἀπὸ τῆς ΖΘ μέχρι τοῦ σημείου Ζ. Διότι, ἐὰν πρὸς τὴν δοθεῖσαν θέσωμεν ἴσην τὴν ΖΞ καὶ διὰ τοῦ Ξ φέρωμεν παράλληλον πρὸς τὴν ΔΕ, θὰ συνατήσῃ αὕτη τὴν τομήν, ὅπως ἀπεδείχθη, ὅτι καὶ ἡ διὰ τοῦ Θ συναντᾷ τὴν τομὴν κατὰ τὰ σημεῖα Μ, Ν· ὥστε ἄγεται εὐθεῖά τις συναντῶσα τὴν τομὴν παράλληλος οὖσα πρὸς τὴν ΔΕ, ἀπολαμβάνουσα ἀπὸ τῆς ΖΗ εὐθεῖαν ἴσην πρὸς τὴν δοθεῖσαν, μέχρι τοῦ σημείου Ζ.

θ′

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ συμπίπτοντι μὲν ἑκατέρᾳ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου, μήτε δὲ παρὰ τὴν βάσιν ἠγμένῳ μήτε ὑπεναντίως, ἡ τομὴ οὐκ ἔσται κύκλος.

ἔστω κῶνος, οὗ κορυφὴ μὲν τὸ *Α* σημεῖον, βάσις δὲ
H34 ὁ *ΒΓ* κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ τινὶ μήτε παραλλήλῳ ὄντι τῇ βάσει μήτε ὑπεναντίως, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τὴν *ΔΚΕ* γραμμήν. λέγω, ὅτι ἡ *ΔΚΕ* γραμμὴ οὐκ ἔσται κύκλος.



εἰ γὰρ δυνατόν, ἔστω, καὶ συμπιπτέτω τὸ τέμνον ἐπίπεδον τῇ βάσει, καὶ ἔστω τῶν ἐπιπέδων κοινὴ τομὴ ἡ *ΖΗ*, τὸ δὲ κέντρον τοῦ *ΒΓ* κύκλου ἔστω τὸ *Θ*, καὶ ἀπ᾽ αὐτοῦ κάθετος ἤχθω ἐπὶ τὴν *ΖΗ* ἡ *ΘΗ*, καὶ ἐκβεβλήσθω διὰ τῆς *ΗΘ* καὶ τοῦ ἄξονος ἐπίπεδον καὶ ποιείτω τομὰς ἐν τῇ κωνικῇ ἐπιφανείᾳ τὰς *ΒΑ*, *ΑΓ* εὐθείας. ἐπεὶ οὖν τὰ *Δ*, *Ε*, *Η* σημεῖα ἔν τε τῷ διὰ τῆς *ΔΚΕ* ἐπιπέδῳ ἐστίν, ἔστι δὲ καὶ ἐν τῷ διὰ τῶν *Α*, *Β*, *Γ*, τὰ ἄρα *Δ*, *Ε*, *Η* σημεῖα ἐπὶ τῆς κοινῆς τομῆς τῶν ἐπιπέδων ἐστίν· εὐθεῖα ἄρα ἐστὶν ἡ *ΗΕΔ*. εἰλήφθω δή τι ἐπὶ τῆς *ΔΚΕ* γραμμῆς σημεῖον τὸ *Κ*, καὶ διὰ τοῦ *Κ* τῇ *ΖΗ* παράλληλος ἤχθω ἡ *ΚΛ*· ἔσται δὴ ἴση ἡ *ΚΜ* τῇ *ΜΛ*. ἡ ἄρα *ΔΕ* διάμετρός ἐστι τοῦ *ΔΚΛΕ* κύκλου. ἤχθω δὴ διὰ τοῦ *Μ* τῇ *ΒΓ* παράλληλος ἡ *ΝΜΞ*· ἔστι δὲ καὶ ἡ *ΚΛ* τῇ *ΖΗ* παράλληλος· ὥστε τὸ διὰ τῶν *ΝΞ*, *ΚΜ* ἐπίπεδον παράλληλόν ἐστι τῷ διὰ τῶν *ΒΓ*, *ΖΗ*, τουτέστι τῇ

9

Ἐὰν κῶνος τμηθῇ δι' ἐπιπέδου συναντῶντος ἑκάστην πλευρὰν τοῦ διὰ τοῦ ἄξονος τριγώνου, νὰ μὴ εἶναι δὲ τοῦτο παράλληλον πρὸς τὴν βάσιν τοῦ κώνου οὔτε ἠγμένον ὑπεναντίως (ἀντιθέτως, ὡς εἰς τὸ θ. 5), ἡ τομὴ δὲν θὰ εἶναι κύκλος.

Ἔστω κῶνος, τοῦ ὁποίου κορυφὴ μὲν εἶναι τὸ σημεῖον Α, βάσις δὲ ὁ κύκλος ΒΓ, καὶ ἂς τμηθῇ δι' ἐπιπέδου τινός, τὸ ὁποῖον νὰ μὴ εἶναι παράλληλον πρὸς τὴν βάσιν οὔτε ἀντιθέτως, καὶ ἂς σχηματίζῃ τομὴν εἰς τὴν ἐπιφάνειαν τὴν γραμμὴν ΔΚΕ. Λέγω, ὅτι ἡ γραμμὴ ΔΚΕ δὲν εἶναι κύκλος.

Διότι, ἔστω ὅτι εἶναι, εἰ δυνατόν, καὶ ἂς συναντήσῃ τὸ τέμνον ἐπίπεδον τὴν βάσιν, καὶ ἔστω κοινὴ τομὴ τῶν ἐπιπέδων ἡ ΖΗ, τὸ δὲ κέντρον τοῦ κύκλου ΒΓ ἔστω τὸ Θ, καὶ ἀπ' αὐτοῦ ἂς ἀχθῇ κάθετος ἐπὶ τὴν ΖΗ ἡ ΘΗ, καὶ ἂς ἐκβληθῇ διὰ τῆς ΗΘ καὶ τοῦ ἄξονος ἐπίπεδον καὶ ἂς σχηματίζῃ τομὰς εἰς τὴν κωνικὴν ἐπιφάνειαν τὰς εὐθείας ΒΑ, ΑΓ. Ἐπειδὴ λοιπὸν τὰ σημεῖα Δ, Ε, Η εἶναι καὶ εἰς τὸ διὰ τῆς ΔΚΕ ἐπίπεδον, εἶναι δὲ καὶ εἰς τὸ διὰ τῶν Α, Β, Γ, τὰ σημεῖα ἄρα Δ, Ε, Η εἶναι ἐπὶ τῆς κοινῆς τομῆς τῶν ἐπιπέδων· εἶναι ἄρα εὐθεῖα ἡ ΗΕΔ (Εὐκλ. 11, 3). Ἂς ληφθῇ λοιπὸν ἐπὶ τῆς γραμμῆς ΔΚΕ σημεῖον τὸ Κ, καὶ διὰ τοῦ Κ ἂς ἀχθῇ παράλληλος πρὸς τὴν ΖΗ ἡ ΚΛ· θὰ εἶναι λοιπὸν ΚΜ = ΜΛ (θ. 7). Ἡ ΔΕ ἄρα εἶναι διάμετρος τοῦ κύκλου ΔΚΛΕ (θ. 7 πόρ.). Ἂς ἀχθῇ τώρα διὰ τοῦ Μ πρὸς τὴν ΒΓ παράλληλος ἡ ΝΜΞ· εἶναι δὲ καὶ ἡ ΚΛ παράλληλος πρὸς τὴν ΖΗ· ὥστε τὸ διὰ τῶν ΝΞ, ΚΜ ἐπίπεδον εἶναι παράλληλον πρὸς τὸ διὰ τῶν ΒΓ, ΖΗ, τουτέστι πρὸς τὴν βάσιν (Εὐκλ. 11, 15), καὶ θὰ *βάσει, καὶ ἔσται ἡ τομὴ κύκλος. ἔστω ὁ ΝΚΞ. καὶ ἐπεὶ ἡ ΖΗ τῇ ΒΗ πρὸς ὀρθάς ἐστι, καὶ ἡ ΚΜ τῇ ΝΞ πρὸς ὀρθάς ἐστιν· ὥστε τὸ ὑπὸ τῶν ΝΜΞ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΚΜ. ἔστι δὲ τὸ ὑπὸ τῶν ΔΜΕ ἴσον τῷ ἀπὸ τῆς ΚΜ· κύκλος γὰρ ὑπόκειται ἡ ΔΚΕΛ γραμμή, καὶ διάμετρος αὐτοῦ ἡ ΔΕ. τὸ ἄρα ὑπὸ τῶν ΝΜΞ ἴσον ἐστὶ τῷ ὑπὸ ΔΜΕ. ἔστιν ἄρα ὡς ἡ ΜΝ πρὸς ΜΔ, οὕτως ἡ ΕΜ πρὸς ΜΞ. ὅμοιον ἄρα ἐστὶ τὸ ΔΜΝ τρίγωνον τῷ ΞΜΕ τριγώνῳ, καὶ ἡ ὑπὸ* H36 *ΔΝΜ γωνία ἴση ἐστὶ τῇ ὑπὸ ΜΕΞ. ἀλλὰ ἡ ὑπὸ ΔΝΜ γωνία τῇ ὑπὸ ΑΒΓ ἐστὶν ἴση· παράλληλος γὰρ ἡ ΝΞ τῇ ΒΓ· καὶ ἡ ὑπὸ ΑΒΓ ἄρα ἴση ἐστὶ τῇ ὑπὸ ΜΕΞ. ὑπεναντία ἄρα ἐστὶν ἡ τομή· ὅπερ οὐχ ὑπόκειται. οὐκ ἄρα κύκλος ἐστὶν ἡ ΔΚΕ γραμμή.*

ι´

Ἐὰν ἐπὶ κώνου τομῆς ληφθῇ δύο σημεῖα, ἡ μὲν ἐπὶ τὰ σημεῖα ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς πεσεῖται τῆς τομῆς, ἡ δὲ ἐπ᾽ εὐθείας αὐτῇ ἐκτός.

ἔστω κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω τομὴν τὸ ΑΒΓ τρίγωνον. τετμήσθω δὴ καὶ ἑτέρῳ ἐπιπέδῳ, καὶ ποιείτω τομὴν ἐν τῇ τοῦ κώνου ἐπιφανείᾳ τὴν ΔΕΖ γραμμήν, καὶ εἰλήφθω ἐπὶ τῆς ΔΕΖ δύο σημεῖα τὰ Η, Θ. λέγω, ὅτι ἡ μὲν ἐπὶ τὰ Η, Θ ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς πεσεῖται τῆς ΔΕΖ γραμμῆς, ἡ δὲ ἐπ᾽ εὐθείας αὐτῇ ἐκτός.

ἐπεὶ γὰρ κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, τέτμηται ἐπιπέδῳ διὰ τοῦ ἄξονος, εἴληπται δέ τινα σημεῖα ἐπὶ τῆς ἐπιφανείας αὐτοῦ τὰ Η, Θ, ἃ μή εἶναι ἡ τομὴ κύκλος (θ. 4). Ἔστω, ὅτι εἶναι ὁ ΝΚΞ. Καὶ ἐπειδὴ ἡ ΖΗ εἶναι κάθετος ἐπὶ τὴν ΒΗ, εἶναι καὶ ἡ ΚΜ κάθετος ἐπὶ τὴν ΝΞ (Εὐκλ. 11, 10)· ὥστε τὸ ὀρθογώνιον ΝΜ x ΜΞ $=$ ΚΜ^2. Εἶναι δὲ τὸ ὀρθογώνιον ΔΜ x ΜΕ $=$ ΚΜ^2· διότι ἡ γραμμὴ ΔΚΕΛ ὑπετέθη κύκλος, καὶ διάμετρος αὐτοῦ ἡ ΔΕ. Τὸ ὀρθογώνιον ἄρα ΝΜ x ΜΞ $=$ ὀρθογ. ΔΜ x ΜΕ. Εἶναι ἄρα ὡς ΜΝ:ΜΔ $=$ ΕΜ : ΜΞ. Τὸ τρίγωνον ἄρα ΔΜΝ εἶναι ὅμοιον πρὸς τὸ τρίγωνον ΞΜΕ, καὶ ἡ γωνία ΔΝΜ $=$γων. ΜΕΞ. Ἀλλὰ ἡ γωνία ΔΝΜ $=$γων. ΑΒΓ· διότι ἡ ΝΞ εἶναι παράλληλος πρὸς τὴν ΒΓ· εἶναι ἄρα καὶ ἡ ΑΒΓ $=$ΜΕΞ. Εἶναι ἄρα ἡ τομὴ ἀντίθετος (ὑπεναντία) (θ. 5)· τὸ ὁποῖον δὲν ὑπετέθη. Δὲν εἶναι ἄρα ἡ γραμμὴ ΔΚΕ κύκλος.

10

Ἐὰν ἐπὶ τομῆς κώνου ληφθῶσι δύο σημεῖα, ἡ μὲν ἑνοῦσα τὰ σημεῖα εὐθεῖα θὰ πέσῃ ἐντὸς τῆς τομῆς, ἡ δὲ προέκτασις αὐτῆς θὰ πέσῃ ἐκτός.



Ἔστω κῶνος, τοῦ ὁποίου κορυφὴ μὲν εἶναι τὸ σημεῖον Α, βάσις δὲ ὁ κύκλος ΒΓ, καὶ ἂς τμηθῇ δι' ἐπιπέδου διερχομένου διὰ τοῦ ἄξονος, καὶ ἂς σχηματίζῃ τομὴν τὸ τρίγωνον ΑΒΓ. Ἂς τμηθῇ τώρα καὶ δι' ἄλλου ἐπιπέδου, καὶ ἂς σχηματίζῃ τομὴν τὴν εἰς τὴν ἐπιφάνειαν τοῦ κώνου γραμμὴν ΔΕΖ, καὶ ἂς ληφθῶσιν ἐπὶ τῆς ΔΕΖ δύο σημεῖα τὰ Η, Θ. Λέγω, ὅτι ἡ μὲν ἑνοῦσα τὰ σημεῖα Η, Θ εὐθεῖα θὰ πέσῃ ἐντὸς τῆς γραμμῆς ΔΕΖ, ἡ δὲ προέκτασις αὐτῆς θὰ πέσῃ ἐκτός.

Διότι, ἐπειδὴ κῶνος, τοῦ ὁποίου κορυφὴ μὲν εἶναι τὸ σημεῖον Α, βάσις δὲ ὁ κύκλος ΒΓ, ἔχει τμηθῇ δι' ἐπιπέδου διὰ τοῦ ἄξονος, ἐλήφθησαν δὲ σημεῖά τινα ἐπὶ τῆς ἐπιφανείας αὐτοῦ τὰ ἐστιν ἐπὶ τῆς πλευρᾶς τοῦ διὰ τοῦ ἄξονος τριγώνου, καὶ ἡ ἀπὸ τοῦ Η ἐπὶ τὸ Θ ἐπιζευγνυμένη εὐθεῖα μὴ νεύῃ ἐπὶ τὸ Α, ἡ ἄρα ἐπὶ τὰ Η, Θ ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς πεσεῖται τοῦ κώνου καὶ ἡ ἐπ᾿ εὐθείᾳ αὐτῇ ἐκτός· ὥστε καὶ τῆς ΔΖΕ τομῆς.

ια'

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, τμηθῇ δὲ
H38 καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ᾿ εὐθεῖαν πρὸς ὀρθὰς οὖσαν τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος τριγώνου, ἔτι δὲ ἡ διάμετρος τῆς τομῆς παράλληλος ᾖ μιᾷ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου, ἥτις ἂν ἀπὸ τῆς τομῆς τοῦ κώνου παράλληλος ἀχθῇ τῇ κοινῇ τομῇ τοῦ τέμνοντος ἐπιπέδου καὶ τῆς βάσεως τοῦ κώνου μέχρι τῆς διαμέτρου τῆς τομῆς, δυνήσεται τὸ περιεχόμενον ὑπό τε τῆς ἀπολαμβανομένης ὑπ᾿ αὐτῆς ἀπὸ τῆς διαμέτρου πρὸς τῇ κορυφῇ τῆς τομῆς καὶ ἄλλης τινὸς εὐθείας, ἣ λόγον ἔχει πρὸς τὴν μεταξὺ τῆς τοῦ κώνου γωνίας καὶ τῆς κορυφῆς τῆς τομῆς, ὃν τὸ τετράγωνον τὸ ἀπὸ τῆς βάσεως τοῦ διὰ τοῦ ἄξονος τριγώνου πρὸς τὸ περιεχόμενον ὑπὸ τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν· καλείσθω δὲ ἡ τοιαύτη τομὴ π α ρ α β ο λ ή.

ἔστω κῶνος, οὗ τὸ Α σημεῖον κορυφή, βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω τομὴν τὸ ΑΒΓ τρίγωνον, τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ᾿ εὐθεῖαν τὴν ΔΕ πρὸς ὀρθὰς οὖσαν τῇ ΒΓ, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου τὴν ΔΖΕ, ἡ δὲ διάμετρος τῆς τομῆς ἡ ΖΗ παράλ-

Η, Θ, τὰ ὁποῖα δὲν εἶναι ἐπὶ τῆς πλευρᾶς τοῦ διὰ τοῦ ἄξονος τριγώνου, καὶ ἡ ἀπὸ τοῦ Η εἰς τὸ Θ ἀγομένη εὐθεῖα δὲν διευθύνεται πρὸς τὸ Α, ἡ ἑνοῦσα ἄρα τὰ σημεῖα Η, Θ εὐθεῖα θὰ πέσῃ ἐντὸς τοῦ κώνου καὶ ἡ προέκτασις αὐτῆς θὰ πέσῃ ἐκτὸς (θ. 2)· ὥστε ἡ προέκτασις θὰ πέσῃ ἐκτὸς καὶ τῆς τομῆς ΔΖΕ.

11

Ἐὰν κῶνος τμηθῇ δι' ἐπιπέδου διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ δι' ἄλλου ἐπιπέδου τέμνοντος τὴν βάσιν τοῦ κώνου κατ' εὐθεῖαν κάθετον ἐπὶ τὴν βάσιν τοῦ διὰ τοῦ ἄξονος τριγώνου, προσέτι δὲ ἡ διάμετρος τῆς τομῆς εἶναι παράλληλος πρὸς μίαν πλευρὰν τοῦ διὰ τοῦ ἄξονος τριγώνου, τὸ τετράγωνον τῆς εὐθείας, τῆς ἀγομένης ἀπὸ τῆς τομῆς τοῦ κώνου παραλλήλως πρὸς τὴν κοινὴν τομὴν τοῦ τέμνοντος ἐπιπέδου καὶ τῆς βάσεως τοῦ κώνου, μέχρι τῆς διαμέτρου τῆς τομῆς, εἶναι ἴσον πρὸς τὸ ὀρθογώνιον, τοῦ ὁποίου μία πλευρὰ εἶναι ἡ ἀπόστασις (τῆς ἀγομένης εὐθείας) ἀπὸ τῆς διαμέτρου μέχρι τῆς κορυφῆς τῆς τομῆς, ἡ ἄλλη δὲ πλευρὰ ἔχει λόγον πρὸς τὴν ἀπόστασιν μεταξὺ τῆς κορυφῆς τοῦ κώνου καὶ τῆς κορυφῆς τῆς τομῆς, ἴσον πρὸς τὸν λόγον τοῦ τετραγώνου τῆς βάσεως τοῦ διὰ τοῦ ἄξονος τριγώνου πρὸς τὸ ὀρθογώνιον τὸ ἔχον πλευρὰς τὰς ἄλλας δύο πλευρὰς τοῦ τριγώνου· ἂς καλῆται δὲ ἡ τοιαύτη τομὴ π α ρ α β ο λ ή.

Ἔστω κῶνος, τοῦ ὁποίου κορυφὴ εἶναι τὸ σημεῖον Α, βάσις δὲ ὁ κύκλος ΒΓ, καὶ ἂς τμηθῇ δι' ἐπιπέδου διὰ τοῦ ἄξονος, καὶ ἂς σχηματίζῃ τομὴν τὸ τρίγωνον ΑΒΓ, ἂς τμηθῇ δὲ καὶ δι' ἄλλου ἐπιπέδου τέμνοντος τὴν βάσιν τοῦ κώνου κατὰ τὴν εὐθεῖαν ΔΕ οὖσαν κάθετον ἐπὶ τὴν ΒΓ, καὶ ἂς σχηματίζῃ τομὴν εἰς τὴν ἐπιφάνειαν τοῦ κώνου τὴν ΔΖΕ, ἡ δὲ διάμετρος τῆς τομῆς ἡ *ληλος ἔστω μιᾷ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου τῇ ΑΓ, καὶ ἀπὸ τοῦ Ζ σημείου τῇ ΖΗ εὐθείᾳ πρὸς ὀρθὰς ἤχθω ἡ ΖΘ, καὶ πεποιήσθω, ὡς τὸ ἀπὸ ΒΓ πρὸς τὸ ὑπὸ ΒΑΓ, οὕτως ἡ ΖΘ πρὸς ΖΑ, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τυχὸν τὸ Κ, καὶ διὰ τοῦ Κ τῇ ΔΕ παράλληλος ἡ ΚΛ. λέγω, ὅτι τὸ ἀπὸ τῆς ΚΛ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΘΖΛ.*

ἤχθω γὰρ διὰ τοῦ Λ τῇ ΒΓ παράλληλος ἡ ΜΝ· ἔστι
H40 *δὲ καὶ ἡ ΚΛ τῇ ΔΕ παράλληλος· τὸ ἄρα διὰ τῶν ΚΛ, ΜΝ ἐπίπεδον παράλληλόν ἐστι τῷ διὰ τῶν ΒΓ, ΔΕ ἐπιπέδῳ, τουτέστι τῇ βάσει τοῦ κώνου. τὸ ἄρα διὰ τῶν ΚΛ, ΜΝ ἐπίπεδον κύκλος ἐστίν, οὗ διάμετρος ἡ ΜΝ. καὶ ἔστι κάθετος ἐπὶ τὴν ΜΝ ἡ ΚΛ, ἐπεὶ καὶ ἡ ΔΕ ἐπὶ τὴν ΒΓ· τὸ ἄρα ὑπὸ τῶν ΜΛΝ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΚΛ. καὶ ἐπεί ἐστιν, ὡς τὸ ἀπὸ τῆς ΒΓ πρὸς τὸ ὑπὸ τῶν ΒΑΓ, οὕτως ἡ ΘΖ πρὸς ΖΑ, τὸ δὲ ἀπὸ τῆς ΒΓ πρὸς τὸ ὑπὸ τῶν ΒΑΓ λόγον ἔχει τὸν συγκείμενον ἔκ τε τοῦ, ὃν ἔχει ἡ ΒΓ πρὸς ΓΑ καὶ ἡ ΒΓ πρὸς ΒΑ, ὁ ἄρα τῆς ΘΖ πρὸς ΖΑ λόγος σύγκειται ἐκ τοῦ τῆς ΒΓ πρὸς ΓΑ καὶ τοῦ τῆς ΓΒ πρὸς ΒΑ. ἀλλ᾽ ὡς μὲν ἡ ΒΓ πρὸς ΓΑ, οὕτως ἡ ΜΝ πρὸς ΝΑ, τουτέστιν ἡ ΜΛ πρὸς ΛΖ, ὡς δὲ ἡ ΒΓ πρὸς ΒΑ, οὕτως ἡ ΜΝ πρὸς ΜΑ, τουτέστιν ἡ ΛΜ πρὸς ΜΖ, καὶ λοιπὴ ἡ ΝΛ πρὸς ΖΑ. ὁ ἄρα τῆς ΘΖ πρὸς ΖΑ λόγος σύγκειται ἐκ τοῦ τῆς ΜΛ πρὸς ΛΖ καὶ τοῦ τῆς ΝΛ πρὸς ΖΑ. ὁ δὲ συγκείμενος λόγος ἐκ τοῦ τῆς ΜΛ πρὸς ΛΖ καὶ τοῦ τῆς ΛΝ πρὸς ΖΑ ὁ τοῦ ὑπὸ ΜΛΝ ἐστι πρὸς τὸ ὑπὸ ΛΖΑ. ὡς ἄρα ἡ ΘΖ πρὸς ΖΑ, οὕτως τὸ ὑπὸ ΜΛΝ πρὸς τὸ ὑπὸ ΛΖΑ. ὡς δὲ ἡ ΘΖ πρὸς ΖΑ, τῆς ΖΛ κοινοῦ ὕψους λαμβανομένης οὕτως τὸ ὑπὸ ΘΖΛ πρὸς τὸ ὑπὸ ΛΖΑ· ὡς ἄρα τὸ ὑπὸ ΜΛΝ πρὸς τὸ ὑπὸ ΛΖΑ, οὕτως τὸ ὑπὸ ΘΖΛ πρὸς τὸ ὑπὸ ΛΖΑ. ἴσον ἄρα ἐστὶ τὸ*

ΖΗ ἔστω παράλληλος πρὸς μίαν πλευρὰν τοῦ διὰ τοῦ ἄξονος τριγώνου τὴν ΑΓ, καὶ ἀπὸ τοῦ σημείου Ζ ἂς ἀχθῇ ἐπὶ τὴν εὐθεῖαν ΖΗ κάθετος ἡ ΖΘ, καὶ ἂς γίνῃ ὡς $ΒΓ^2 : ΒΑ \times ΑΓ = ΖΘ : ΖΑ$, καὶ ἂς ληφθῇ τυχὸν σημεῖον ἐπὶ τῆς τομῆς τὸ Κ, καὶ διὰ τοῦ Κ ἂς ἀχθῇ πρὸς τὴν ΔΕ παράλληλος ἡ ΚΛ. Λέγω, ὅτι $ΚΛ^2 = ΘΖ \times ΖΛ$.

Διότι ἂς ἀχθῇ διὰ τοῦ Λ παράλληλος πρὸς τὴν ΒΓ ἡ ΜΝ· εἶναι δὲ καὶ ἡ ΚΛ παράλληλος πρὸς τὴν ΔΕ· τὸ ἐπίπεδον ἄρα τὸ διὰ τῶν ΚΛ, ΜΝ εἶναι παράλληλον πρὸς τὸ διὰ τῶν ΒΓ, ΔΕ ἐπίπεδον, τουτέστι πρὸς τὴν βάσιν τοῦ κώνου (Εὐκλ. 11, 15). Τὸ ἐπίπεδον ἄρα τὸ διὰ τῶν ΚΛ, ΜΝ εἶναι κύκλος, τοῦ ὁποίου διάμετρος εἶναι ἡ ΜΝ (θ. 4). Καὶ ἡ ΚΛ εἶναι κάθετος ἐπὶ τὴν ΜΝ, ἐπειδὴ καὶ ἡ ΔΕ εἶναι κάθετος ἐπὶ τὴν ΒΓ· τὸ ὀρθογώνιον ἄρα $ΜΛ \times ΛΝ = ΚΛ^2$. Καὶ ἐπειδὴ εἶναι $ΒΓ^2 : ΒΑ \times ΑΓ = ΘΖ : ΖΑ$, καὶ εἶναι $ΒΓ^2 : ΒΑ \times ΑΓ = (ΒΓ : ΓΑ) \times (ΒΓ : ΒΑ)$, θὰ εἶναι ἄρα $ΘΖ : ΖΑ = (ΒΓ : ΓΑ) \times (ΓΒ : ΒΑ)$. Ἀλλὰ $ΒΓ : ΓΑ = ΜΝ : ΝΑ = ΜΛ : ΛΖ$ (Εὐκλ. 6, 4) καὶ $ΒΓ : ΒΑ = ΜΝ : ΜΑ = ΛΜ : ΜΖ$ (Εὐκλ. 6, 4) $= ΝΛ : ΖΑ$ (Εὐκλ. 6, 2). Εἶναι ἄρα $ΘΖ : ΖΑ = (ΜΛ : ΛΖ) \times (ΝΛ : ΖΑ)$. Εἶναι δὲ $(ΜΛ : ΛΖ) \times (ΛΝ : ΖΑ) = ΜΛ \times ΛΝ : ΛΖ \times ΖΑ$. Εἶναι ἄρα $ΘΖ : ΖΑ = ΜΛ \times ΛΝ : ΛΖ \times ΖΑ$. Ὡς δὲ $ΘΖ : ΖΑ$, τῆς ΖΛ λαμβανομένης κοινοῦ ὕψους, $= ΘΖ \times ΖΛ : ΛΖ \times ΖΑ$· ὡς ἄρα $ΜΛ \times ΛΝ : ΛΖ \times ΖΑ = ΘΖ \times ΖΛ : ΛΖ \times ΖΑ$. Εἶναι ἄρα $ΜΛ \times ΛΝ = ΘΖ$



ὑπὸ ΜΛΝ τῷ ὑπὸ ΘΖΛ. τὸ δὲ ὑπὸ ΜΛΝ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΚΛ· καὶ τὸ ἀπὸ τῆς ΚΛ ἄρα ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΘΖΛ.

H42 καλείσθω δὲ ἡ μὲν τοιαύτη τομὴ παραβολή, ἡ δὲ ΘΖ παρ᾽ ἣν δύνανται αἱ καταγόμεναι τεταγμένως ἐπὶ τὴν ΖΗ διάμετρον, καλείσθω δὲ καὶ ὀρθία.

ιβ′

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ᾽ εὐθεῖαν πρὸς ὀρθὰς οὖσαν τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος τριγώνου, καὶ ἡ διάμετρος τῆς τομῆς ἐκβαλλομένη συμπίπτῃ μιᾷ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου ἐκτὸς τῆς τοῦ κώνου κορυφῆς, ἥτις ἂν ἀπὸ τῆς τομῆς ἀχθῇ παράλληλος τῇ κοινῇ τομῇ τοῦ τέμνοντος ἐπιπέδου καὶ τῆς βάσεως τοῦ κώνου, ἕως τῆς διαμέτρου τῆς τομῆς δυνήσεταί τι χωρίον παρακείμενον παρά τινα εὐθεῖαν, πρὸς ἣν λόγον ἔχει ἡ ἐπ᾽ εὐθείας μὲν οὖσα τῇ διαμέτρῳ τῆς τομῆς, ὑποτείνουσα δὲ τὴν ἐκτὸς τοῦ τριγώνου γωνίαν, ὃν τὸ τετράγωνον τὸ ἀπὸ τῆς ἠγμένης ἀπὸ τῆς κορυφῆς τοῦ κώνου παρὰ τὴν διάμετρον τῆς τομῆς ἕως τῆς βάσεως τοῦ τριγώνου πρὸς τὸ περιεχόμενον ὑπὸ τῶν τῆς βάσεως τμημάτων, ὧν ποιεῖ ἡ ἀχθεῖσα, πλάτος ἔχον τὴν ἀπολαμβανομένην ὑπ᾽ αὐτῆς ἀπὸ τῆς διαμέτρου πρὸς τῇ κορυφῇ τῆς τομῆς, ὑπερβάλλον εἴδει ὁμοίῳ τε καὶ ὁμοίως κειμένῳ τῷ περιεχομένῳ ὑπό τε τῆς ὑποτεινούσης τὴν ἐκτὸς γωνίαν τοῦ τριγώνου καὶ τῆς παρ᾽ ἣν δύνανται αἱ καταγόμεναι· καλείσθω δὲ ἡ τοιαύτη τομὴ ὑ π ε ρ β ο λ ή.

x ΖΛ (Εὐκλ. 5, 9). Τὸ δὲ ΜΛ x ΛΝ $=$ ΚΛ^2· εἶναι ἄρα καὶ ΚΛ$^2 =$ ΘΖ x ΖΛ.

Ἄς καλῆται δὲ ἡ μὲν τοιαύτη τομὴ παραβολή, ἡ δὲ ΘΖ ἂς καλῆται ἐκείνη κατὰ τὴν ὁποίαν ρυθμίζεται τὸ τετράγωνον τῶν ἀγομένων ἐπὶ τὴν διάμετρον τεταγμένων, ἂς καλῆται δὲ καὶ ὀρθία (κάθετος, παράμετρος).

12

Ἐὰν κῶνος τμηθῇ δι᾿ ἐπιπέδου διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ δι᾿ ἄλλου ἐπιπέδου τέμνοντος τὴν βάσιν τοῦ κώνου κατ᾿ εὐθεῖαν κάθετον ἐπὶ τὴν βάσιν τοῦ διὰ τοῦ ἄξονος τριγώνου, καὶ ἡ διάμετρος τῆς τομῆς ἐκβαλλομένη συναντᾷ μίαν πλευρὰν τοῦ διὰ τοῦ ἄξονος τριγώνου ἐκτὸς τῆς κορυφῆς τοῦ κώνου· τὸ τετράγωνον τῆς εὐθείας, ἡ ὁποία ἄγεται ἀπὸ τῆς τομῆς παράλληλος πρὸς τὴν κοινὴν τομὴν τοῦ τέμνοντος ἐπιπέδου καὶ τῆς βάσεως τοῦ κώνου μέχρι τῆς διαμέτρου τῆς τομῆς, θὰ εἶναι ἴσον πρὸς χωρίον παραβαλλόμενον πρὸς εὐθεῖάν τινα, πρὸς ἣν ἔχει λόγον ἡ ἐπ᾿ εὐθείας μὲν οὖσα πρὸς τὴν διάμετρον τῆς τομῆς, ὑποτείνουσα δὲ τὴν ἐκτὸς τοῦ τριγώνου γωνίαν, ὃν ἔχει τὸ τετράγωνον τῆς ἠγμένης εὐθείας ἀπὸ τῆς κορυφῆς τοῦ κώνου παραλλήλως πρὸς τὴν διάμετρον τῆς τομῆς μέχρι τῆς βάσεως τοῦ τριγώνου πρὸς τὸ ὀρθογώνιον τὸ ἔχον πλευρὰς τὰ τμήματα τῆς βάσεως, τὰ σχηματιζόμενα ὑπὸ τῆς ἀχθείσης εὐθείας, τὸ ἔχον πλάτος τὴν ὑπ᾿ αὐτῆς ἀπολαμβανομένην ἀπὸ τῆς διαμέτρου μέχρι τῆς κορυφῆς τῆς τομῆς, ὑπερβάλλον κατὰ σχῆμα ὅμοιον καὶ ὁμοίως κείμενον πρὸς τὸ ὀρθογώνιον τὸ ἔχον πλευρὰς τὴν ὑποτείνουσαν τὴν ἐκτὸς γωνίαν τοῦ τριγώνου καὶ τὴν παράμετρον· ἂς καλῆται δὲ ἡ τοιαύτη τομὴ ὑ π ε ρ β ο λ ή.

ἔστω κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ H44 ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω τομὴν τὸ ΑΒΓ τρίγωνον, τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ᾽ εὐθεῖαν τὴν ΔΕ πρὸς ὀρθὰς οὖσαν τῇ ΒΓ βάσει τοῦ ΑΒΓ τριγώνου, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου τὴν ΔΖΕ γραμμήν, ἡ δὲ διάμετρος τῆς τομῆς ἡ ΖΗ ἐκβαλλομένη συμπιπτέτω μιᾷ πλευρᾷ τοῦ ΑΒΓ τριγώνου τῇ ΑΓ ἐκτὸς τῆς τοῦ κώνου κορυφῆς κατὰ τὸ Θ, καὶ διὰ τοῦ Α τῇ διαμέτρῳ τῆς τομῆς τῇ ΖΗ παράλληλος ἤχθω ἡ ΑΚ, καὶ τεμνέτω τὴν ΒΓ, καὶ ἀπὸ τοῦ Ζ τῇ ΖΗ πρὸς ὀρθὰς ἤχθω ἡ ΖΛ, καὶ πεποιήσθω, ὡς τὸ ἀπὸ ΚΑ πρὸς τὸ ὑπὸ ΒΚΓ, οὕτως ἡ ΖΘ πρὸς ΖΛ, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τυχὸν τὸ Μ, καὶ διὰ τοῦ Μ τῇ ΔΕ παράλληλος ἤχθω ἡ ΜΝ, διὰ δὲ τοῦ Ν τῇ ΖΛ παράλληλος ἡ ΝΟΞ, καὶ ἐπιζευχθεῖσα ἡ ΘΛ ἐκβεβλήσθω ἐπὶ τὸ Ξ, καὶ διὰ τῶν Λ, Ξ τῇ ΖΝ παράλληλοι ἤχθωσαν αἱ ΛΟ, ΞΠ. λέγω, ὅτι ἡ ΜΝ δύναται τὸ ΖΞ, ὃ παράκειται παρὰ τὴν ΖΛ πλάτος ἔχον τὴν ΖΝ ὑπερβάλλον εἴδει τῷ ΛΞ ὁμοίῳ ὄντι τῷ ὑπὸ τῶν ΘΖΛ.

ἤχθω γὰρ διὰ τοῦ Ν τῇ ΒΓ παράλληλος ἡ ΡΝΣ· ἔστι δὲ καὶ ἡ ΝΜ τῇ ΔΕ παράλληλος· τὸ ἄρα διὰ τῶν ΜΝ, ΡΣ ἐπίπεδον παράλληλόν ἐστι τῷ διὰ τῶν ΒΓ, ΔΕ, τουτέστι τῇ βάσει τοῦ κώνου. ἐὰν ἄρα ἐκβληθῇ τὸ διὰ τῶν ΜΝ, ΡΣ ἐπίπεδον, ἡ τομὴ κύκλος ἔσται, οὗ διάμετρος ἡ ΡΝΣ. καὶ ἔστιν ἐπ᾽ αὐτὴν κάθετος ἡ ΜΝ· τὸ ἄρα ὑπὸ τῶν ΡΝΣ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΜΝ. καὶ ἐπεί ἐστιν, ὡς τὸ ἀπὸ ΑΚ πρὸς τὸ H46 ὑπὸ ΒΚΓ, οὕτως ἡ ΖΘ πρὸς ΖΛ, ὁ δὲ τοῦ ἀπὸ τῆς ΑΚ πρὸς τὸ ὑπὸ ΒΚΓ λόγος σύγκειται ἔκ τε τοῦ, ὃν ἔχει ἡ ΑΚ πρὸς

Ἔστω κῶνος, τοῦ ὁποίου κορυφὴ μὲν εἶναι τὸ σημεῖον Α, βάσις δὲ ὁ κύκλος ΒΓ, καὶ ἂς τμηθῇ δι' ἐπιπέδου διὰ τοῦ ἄξονος, καὶ ἂς σχηματίζῃ τομὴν τὸ τρίγωνον ΑΒΓ, ἂς τμηθῇ δὲ καὶ δι' ἑτέρου ἐπιπέδου τέμνοντος τὴν βάσιν τοῦ κώνου κατὰ τὴν εὐθεῖαν ΔΕ κάθετον ἐπὶ τὴν βάσιν ΒΓ τοῦ τριγώνου ΑΒΓ, καὶ ἂς σχηματίζῃ τομὴν εἰς τὴν ἐπιφάνειαν τοῦ κώνου τὴν γραμμὴν ΔΖΕ, ἡ δὲ διάμετρος τῆς τομῆς ἡ ΖΗ ἐκβαλλομένη ἂς συναντᾷ μίαν πλευρὰν τοῦ τριγώνου ΑΒΓ τὴν ΑΓ ἐκτὸς τῆς κορυφῆς τοῦ κώνου κατὰ τὸ σημεῖον Θ, καὶ διὰ τοῦ Α ἂς ἀχθῇ πρὸς τὴν διάμετρον τῆς τομῆς τὴν ΖΗ παράλληλος ἡ ΑΚ, καὶ ἂς τέμνῃ τὴν ΒΓ, καὶ ἀπὸ τοῦ Ζ ἂς ἀχθῇ κάθετος ἐπὶ τὴν ΖΗ ἡ ΖΛ, καὶ ἂς γίνῃ ὡς $ΚΑ^2 : ΒΚ \times ΚΓ = ΖΘ : ΖΛ$, καὶ ἂς ληφθῇ τυχὸν σημεῖον ἐπὶ τῆς τομῆς τὸ Μ, καὶ διὰ τοῦ Μ ἂς ἀχθῇ ἡ ΜΝ παράλληλος πρὸς τὴν ΔΕ, διὰ δὲ τοῦ Ν παράλληλος πρὸς τὴν ΖΛ ἡ ΝΟΞ, καὶ ἀφοῦ ἀχθῇ ἡ ΘΛ ἂς ἐκβληθῇ μέχρι τοῦ Ξ, καὶ διὰ τῶν Λ, Ξ ἂς ἀχθῶσι πρὸς τὴν ΖΝ παράλληλοι αἱ ΛΟ, ΞΠ. Λέγω, ὅτι τὸ $ΜΝ^2 =$ ὀρθογώνιον ΖΞ, τὸ ὁποῖον ἔχει παραβληθῇ παρὰ τὴν ΖΛ, ἔχον πλάτος τὴν ΖΝ ὑπερβάλλον (δηλ. ὑπερέχον) κατὰ σχῆμα ὀρθογώνιον παραλληλόγραμμον τὸ ΛΞ, τὸ ὁποῖον εἶναι ὅμοιον πρὸς τὸ ὀρθογώνιον $ΘΖ \times ΖΛ$ (Εὐκλ. 6, 29).

Διότι ἂς ἀχθῇ διὰ τοῦ Ν πρὸς τὴν ΒΓ παράλληλος ἡ ΡΝΣ· εἶναι δὲ καὶ ἡ ΝΜ παράλληλος πρὸς τὴν ΔΕ· τὸ ἐπίπεδον ἄρα τὸ διὰ τῶν ΜΝ, ΡΣ εἶναι παράλληλον πρὸς τὸ διὰ τῶν ΒΓ, ΔΕ, τουτέστι πρὸς τὴν βάσιν τοῦ κώνου (Εὐκλ. 11, 15). Ἐὰν ἄρα ἐκβληθῇ τὸ διὰ τῶν ΜΝ, ΡΣ ἐπίπεδον, ἡ τομὴ θὰ εἶναι κύκλος, τοῦ ὁποίου διάμετρος εἶναι ἡ ΡΝΣ (θ. 4). Καὶ εἶναι ἐπ' αὐτὴν κάθετος ἡ ΜΝ· εἶναι ἄρα τὸ ὀρθογώνιον $ΡΝ \times ΝΣ = ΜΝ^2$. Καὶ ἐπειδὴ εἶναι ὡς $ΑΚ^2 : ΒΚ \times ΚΓ = ΖΘ : ΖΛ$, ὁ δὲ λόγος τοῦ $ΑΚ^2 : ΒΚ \times ΚΓ = (ΑΚ : ΚΓ) \times (ΑΚ : ΚΒ)$, καὶ ἄρα ΖΘ :

ΚΓ καὶ ἡ ΑΚ πρὸς ΚΒ, καὶ ὁ τῆς ΖΘ ἄρα πρὸς τὴν ΖΛ λόγος σύγκειται ἐκ τοῦ, ὃν ἔχει ἡ ΑΚ πρὸς ΚΓ καὶ ἡ ΑΚ πρὸς ΚΒ. ἀλλ' ὡς μὲν ἡ ΑΚ πρὸς ΚΓ, οὕτως ἡ ΘΗ πρὸς ΗΓ, τουτέστιν ἡ ΘΝ πρὸς ΝΣ, ὡς δὲ ἡ ΑΚ πρὸς ΚΒ, οὕτως ἡ ΖΗ πρὸς ΗΒ, τουτέστιν ἡ ΖΝ πρὸς ΝΡ. ὁ ἄρα τῆς ΘΖ πρὸς ΖΛ λόγος σύγκειται ἔκ τε τοῦ τῆς ΘΝ πρὸς ΝΣ καὶ τοῦ τῆς ΖΝ πρὸς ΝΡ. ὁ δὲ συγκείμενος λόγος ἐκ τοῦ τῆς ΘΝ πρὸς ΝΣ καὶ τοῦ τῆς ΖΝ πρὸς ΝΡ ὁ τοῦ ὑπὸ τῶν ΘΝΖ ἐστι πρὸς τὸ ὑπὸ τῶν ΣΝΡ· καὶ ὡς ἄρα τὸ ὑπὸ τῶν ΘΝΖ πρὸς τὸ ὑπὸ τῶν ΣΝΡ, οὕτως ἡ ΘΖ πρὸς ΖΛ, τουτέστιν ἡ ΘΝ πρὸς ΝΞ. ἀλλ' ὡς ἡ ΘΝ πρὸς ΝΞ, τῆς ΖΝ κοινοῦ ὕψους λαμβανομένης οὕτως τὸ ὑπὸ τῶν ΘΝΖ πρὸς τὸ ὑπὸ τῶν ΖΝΞ. καὶ ὡς ἄρα τὸ ὑπὸ τῶν ΘΝΖ πρὸς τὸ ὑπὸ τῶν ΣΝΡ, οὕτως τὸ ὑπὸ τῶν ΘΝΖ πρὸς τὸ ὑπὸ τῶν ΞΝΖ. τὸ ἄρα ὑπὸ ΣΝΡ ἴσον ἐστὶ τῷ ὑπὸ ΞΝΖ. τὸ δὲ ἀπὸ ΜΝ ἴσον ἐδείχθη τῷ ὑπὸ ΣΝΡ· καὶ τὸ ἀπὸ τῆς ΜΝ ἄρα ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΞΝΖ. τὸ δὲ ὑπὸ ΞΝΖ ἐστι τὸ ΞΖ παραλληλόγραμμον. ἡ ἄρα ΜΝ δύναται τὸ ΞΖ, ὃ παράκειται παρὰ τὴν ΖΛ πλάτος ἔχον τὴν ΖΝ ὑπερβάλλον τῷ ΛΞ ὁμοίῳ ὄντι τῷ ὑπὸ τῶν ΘΖΛ. καλείσθω δὲ ἡ μὲν τοιαύτη τομὴ ὑπερβολή, ἡ δὲ ΛΖ παρ' ἣν δύνανται αἱ ἐπὶ τὴν ΖΗ καταγόμεναι τεταγμένως· καλείσθω δὲ ἡ αὐτὴ καὶ ὀρθία, πλαγία δὲ ἡ ΖΘ.

H48 *ιγ'*

᾽Εὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ συμπίπτοντι μὲν ἑκατέρᾳ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου, μήτε δὲ παρὰ τὴν βάσιν τοῦ κώ-

ΖΛ = (ΑΚ : ΚΓ) x (ΑΚ : ΚΒ). Ἀλλὰ ὡς ΑΚ : ΚΓ = ΘΗ : ΗΓ = ΘΝ : ΝΣ (Εὐκλ. 6, 4) καὶ ὡς ΑΚ : ΚΒ = ΖΗ : ΗΒ = ΖΝ : ΝΡ (Εὐκλ. 6, 4). Ὁ λόγος ἄρα ΘΖ : ΖΛ = (ΘΝ : ΝΣ) x (ΖΝ : ΝΡ). Ὁ δὲ λόγος (ΘΝ : ΝΣ) x (ΖΝ : ΝΡ) = ΘΝ x ΝΖ : ΣΝ x ΝΡ· καὶ ὡς ἄρα ΘΝ x ΝΖ : ΣΝ x ΝΡ = ΘΖ : ΖΛ = ΘΝ:ΝΞ (Εὐκλ. 6, 4). Ἀλλὰ ὡς ΘΝ : ΝΞ, τῆς ΖΝ λαμβανομένης ὡς κοινοῦ ὕψους, = ΘΝ x ΝΖ : ΖΝ x ΝΞ. Καὶ ὡς ἄρα τὸ ΘΝ x ΝΖ : ΣΝ x ΝΡ = ΘΝ x ΝΖ : ΞΝ x ΝΖ. Εἶναι ἄρα τὸ ΣΝxΝΡ = ΞΝ x ΝΖ (Εὐκλ. 5, 9). Ἐδείχθη δὲ τὸ $ΜΝ^2$ = ΣΝ x ΝΡ· εἶναι ἄρα καὶ τὸ $ΜΝ^2$ = ΞΝ x ΝΖ (Εὐκλ. κοιναὶ ἔννοιαι α΄). Εἶναι δὲ τὸ ΞΝ x ΝΖ = τὸ παραλληλόγραμμον ΞΖ. Τὸ τετράγωνον ἄρα τῆς ΜΝ εἶναι ἰσοδύναμον πρὸς τὸ παραλληλόγραμμον ΞΖ, τὸ ὁποῖον ἔχει παραβληθῇ παρὰ τὴν ΖΛ ἔχον πλάτος τὴν ΖΝ, ὑπερβάλλον (ὑπερέχον) κατὰ τὸ σχῆμα ΛΞ, τὸ ὁποῖον εἶναι ὅμοιον πρὸς τὸ ΘΖ x ΖΛ. Ἄς καλῆται δὲ ἡ μὲν τοιαύτη τομὴ ὑπερβολή, ἡ δὲ ΛΖ, ἐκείνη παρὰ τὴν ὁποίαν δύνανται αἱ ἐπὶ τὴν ΖΗ καταγόμεναι τεταγμένως (παράμετρος)· ἄς καλῆται δὲ ἡ αὐτὴ (ἡ παράμετρος ΛΖ) καὶ ὀρθία, πλαγία δὲ ἡ ΖΘ.



13

Ἐὰν κῶνος τμηθῇ δι' ἐπιπέδου διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ δι' ἄλλου ἐπιπέδου συναντῶντος μὲν ἑκατέραν πλευρὰν τοῦ διὰ τοῦ ἄξονος τριγώνου, τὸ ὁποῖον ὅμως νὰ μὴ εἶναι παράλληλον πρὸς τὴν βάσιν τοῦ κώνου οὔτε νὰ ἔχῃ ἀχθῇ ἀντιθέτως, τὸ νου ἠγμένῳ μήτε ὑπεναντίως, τὸ δὲ ἐπίπεδον, ἐν ᾧ ἐστιν ἡ βάσις τοῦ κώνου, καὶ τὸ τέμνον ἐπίπεδον συμπίπτῃ κατ᾽ εὐθεῖαν πρὸς ὀρθὰς οὖσαν ἤτοι τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος τριγώνου ἢ τῇ ἐπ᾽ εὐθείας αὐτῇ, ἥτις ἂν ἀπὸ τῆς τομῆς τοῦ κώνου παράλληλος ἀχθῇ τῇ κοινῇ τομῇ τῶν ἐπιπέδων ἕως τῆς διαμέτρου τῆς τομῆς, δυνήσεταί τι χωρίον παρακείμενον παρά τινα εὐθεῖαν, πρὸς ἣν λόγον ἔχει ἡ διάμετρος τῆς τομῆς, ὃν τὸ τετράγωνον τὸ ἀπὸ τῆς ἠγμένης ἀπὸ τῆς κορυφῆς τοῦ κώνου παρὰ τὴν διάμετρον τῆς τομῆς ἕως τῆς βάσεως τοῦ τριγώνου πρὸς τὸ περιεχόμενον ὑπὸ τῶν ἀπολαμβανομένων ὑπ᾽ αὐτῆς πρὸς ταῖς τοῦ τριγώνου εὐθείαις πλάτος ἔχον τὴν ἀπολαμβανομένην ὑπ᾽ αὐτῆς ἀπὸ τῆς διαμέτρου πρὸς τῇ κορυφῇ τῆς τομῆς ἐλλεῖπον εἴδει ὁμοίῳ τε καὶ ὁμοίως κειμένῳ τῷ περιεχομένῳ ὑπό τε τῆς διαμέτρου καὶ τῆς παρ᾽ ἣν δύνανται· καλείσθω δὲ ἡ τοιαύτη τομὴ ἔ λ λ ε ι ψ ι ς.

ἔστω κῶνος, οὗ κορυφὴ μὲν τὸ *Α* σημεῖον, βάσις δὲ ὁ *ΒΓ* κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω τομὴν τὸ *ΑΒΓ* τρίγωνον, τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ συμπίπτοντι μὲν ἑκατέρᾳ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου, μήτε δὲ παραλλήλῳ τῇ βάσει τοῦ κώνου μήτε ὑπεναντίως ἠγμένῳ, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπι-
H50 φανείᾳ τοῦ κώνου τὴν *ΔΕ* γραμμήν· κοινὴ δὲ τομὴ τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ, ἐν ᾧ ἐστιν ἡ βάσις τοῦ κώνου, ἔστω ἡ *ΖΗ* πρὸς ὀρθὰς οὖσα τῇ *ΒΓ*, ἡ δὲ διάμετρος τῆς τομῆς ἔστω ἡ *ΕΔ*, καὶ ἀπὸ τοῦ *Ε* τῇ *ΕΔ* πρὸς ὀρθὰς ἤχθω ἡ *ΕΘ*, καὶ διὰ τοῦ *Α* τῇ *ΕΔ* παράλληλος ἤχθω ἡ *ΑΚ*, καὶ

